1 ἐφησυχ. R *ante* καὶ *addit* δὲ U *ante* κατὰ *addit* αἱ R ἀνθρώποισι r ἐπ'ὴν δὴ b 2 δ' ἡ V δὲ MUbR ἑωυτὲὴν b σοφίης U ἑωυτέην U ἑαυτὴν r πάθεα U ἐκκεχώρηκεν b κεχώρηκε V ποθέουσιν U δὲ R δ' *om.* MU 3 ἡσυχίην U ἡσυχίαν r πραγμάτων V ἀταραξῆης *(sic)* U 4 ὁκόταν U νόος b φροντίδων *pro* θορύβων R 5 τὸ σῶμα *ad* μετήλλαξεν *rettuli* στόμα V ἡσυχίην U εἶτ' b ὄρθιος b ὄρθριος R ἑωυτῶ U ἑαυτῶ r περισκοπεῖ bR 6 ἀληθείης U οὐ πατὴρ *om.* R οὐ˝γυνή ·οὐ μήτηρ· οὐ τέκνα b κασίγνητοι b κασιγνητοι r ξυγγενέες U συγγενεῖς r 7 οὐ τύχη *om.* R οὐδ' ὅλως R οὐθ' Vb οὐδὲ ἓν b τὸν θ. U ἐμποιησόντων Vb ἐμποιούντων R ἅπαντα b δὲ r ἀποκεκλεισμένα b ταράττοντα b τὰ παράσσον *(sic)* U 8 ὑπὸ r τολμέοντα U εὐλαβείης U οἰκεόντων· οἰκέουσι U ἐνοικεόντων b 9 παντοῖαι R 10 χώρωι (ι supra) b 11 μετοικήσας R οὐκ ἔθ' r ὁρέων U οἷάγε (τε) *pro* ἅτε R 12 νοῦσον U ἐξελεγχθῆναι b 13 ξενίην U ὦ *om.* R οὐδὲ γὰρ bR 14 ξένον (φιλ supra) b *post* οἶσθα *add.* σὺ b ἔρρωσο *om.* R 15 ΙΓ MU ΙΔ b Ἱπποκρ. *et* χαίρειν *om.* r 16 ἁλικαρνησσῶ V: ἁλικαρνασσῶι (η supra) M ἁλικαρνασσῶι b ἁλικαρνασῶ UR ἐλθὼν R 17 Ἄβδηρα VbR Δημοκρίτου r Δημοκρίτεο U νοσέοντα U 18 ἀλλ' ἔκτοπός τις MU: ἄλεκτός τις ἡ b ἀλλ' ἐκτός τις V ἄλεκτος γάρ τι R (τι, τοι) r συμπαθείη U ξυννοσεῖ U συννοσέει bR 19 δοκέει V δοκέουσι U δέεσθαι καὶ αὐτοὶ V θεραπείας Ur μὲν *pro* δὲ R νοῦσου *(sic)* U αὐτῶ U: αὐτὴν (ωι supra) M αὐτὸ VbR ἀμετρίην παιδείης U 20 δὲ *pro* γε R ἀμετρίην U τοῖσιν bR 21 νούσου γίνεται U νόσον r γίγνεται b τοῦτο *pro* τὸ ὑπερβ. R ἀπαιδευσίην U 22 δὲ bR καὶ ἴσως *pro* ὥς R 23 ἀμετρίην U ἀνδρίην UV ὑπείληφεν b μεγαλοψυχίην U 24 δοκέει U ξύμμετρον U συμμετρον br προγνώσιος U 25 αὐτὸς *om.* R 26 τε *om.* Vb φροντίζῃς R

τιεῖϲ καὶ πρὸ τῶν ἐμῶν τῆϲ πόλιοϲ. ἐπειδὴ οὐκ οἶδ' ὅκωϲ ἐκ ϲυντυχίηϲ ὑγιεινὸν τὸ ἔτοϲ ἐϲτὶ καὶ
τὴν ἀρχαίην φύϲιν ἔχον, ὥϲτε οὐδὲ πολλαὶ παρενοχλήϲουϲι νοῦϲοι. πλὴν ὅμωϲ πάριθι. οἰκήϲειϲ 5
δὲ τὴν ἐμὴν οἰκίην ὑπερευκαιρέουϲαν, ἅτε καὶ τοῦ γυναίου μένοντοϲ πρὸϲ τοὺϲ γονεῖϲ διὰ τὴν
ἐμὴν ἐκδημίην. ἐπιϲκόπει δὲ ὅμωϲ καὶ τὰ ἐκείνηϲ ὅκωϲ διάγηι ϲωφρόνωϲ καὶ μὴ τὴν ἀνδρὸϲ ἀπου- 6
ϲίην ἄλλουϲ ἄνδραϲ νομίϲηι. κόϲμιον μὲν γὰρ ἐξ ἀρχῆϲ ἦν καὶ γονέαϲ ἀϲτείουϲ εἶχε, τὸν δὲ πατέρα
ἐκτόπωϲ ἀνδρικόν τε καὶ μάλα μιϲοπόνηρον | ὑπερφυῶϲ γερόντιον. ἀλλ' ὅμωϲ ἀεὶ χρήιζει γυνὴ 336
ϲωφρονίζοντοϲ· ἔχει γὰρ φύϲει τὸ ἀκόλαϲτον ἐν ἑωυτέηι, ὅπερ, εἰ μὴ καθ' ἡμέραν ἐπικόπτοιτο,
ὡϲ τὰ δένδρα καθυλομανέει. ἐγὼ δὲ φίλον οἴομαι ἀκριβέϲτερον γονέων εἰϲ φυλακὴν γυναικόϲ· οὐ 7
γὰρ ὡϲ ἐκείνοιϲ καὶ τουτέωι ξυνοικέει πόθοϲ εὐνοίηϲ, δι' οὗ πολλάκιϲ ἐπιϲκιάζεται τὴν νουθεϲίην.
φρονιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέϲτερον ἅτε μὴ ἐπικλώμενον ὑπ' εὐνοίηϲ. ἔρρωϲο.

14. Ἱπποκράτηϲ Δαμαγήτωι χαίρειν.

Οἶδα παρὰ ϲοὶ γενόμενοϲ ἐν Ῥόδωι, Δαμάγητε, τὴν ναῦν ἐκείνην (Ἅλιοϲ ἐπιγραφὴ ἦν αὐτῆι) 1
πάγκαλόν τινα καὶ εὔπρυμνον ἱκανῶϲ τε τετροπιϲμένην, καὶ διάβαϲιν εἶχε πολλήν. ἐπῄνειϲ δὲ καὶ
τὸ ναυτικὸν αὐτῆϲ ὡϲ ὀξὺ καὶ ἀϲφαλὲϲ καὶ εὔτεχνον ὑπουργῆϲαι καὶ τοῦ πλοῦ τὴν εὐδρομίην.
ταύτην ἔκπεμψον ἡμῖν, ἀλλ' εἰ οἷόν τε μὴ κώπαιϲ, ἀλλὰ πτεροῖϲ ἐρετμώϲαϲ αὐτήν. ἐπείγει γὰρ τὸ 2
πρῆγμα, φιλότηϲ, καὶ μάλα εἰϲ Ἄβδηρα διαπλεῦϲαι πάνυ ταχέωϲ. βούλομαι γὰρ νοϲέουϲαν ἰήϲαϲθαι
πόλιν διὰ νοϲέοντα ἕνα Δημόκριτον. ἀκούειϲ που τἀνδρὸϲ τὸ κλέοϲ· τοῦτον ἡ πατρὶϲ ἠιτίηται 3
μανίηι κεκακῶϲθαι· ἐγὼ δὲ βούλομαι, μᾶλλον δὲ εὔχομαι μὴ ὄντωϲ αὐτὸν παρακόπτειν, ἀλλ' ἐκεί-
νοιϲιν δόξαν εἶναι. γελᾶι, φαϲίν, αἰεὶ καὶ οὐ παύεται γε|λῶν ἐπὶ παντὶ πρήγματι καὶ ϲημεῖον αὐ- 338
τοῖϲι μανίηϲ τοῦτο δοκέει. ὅθεν λέγε τοῖϲι ἐν Ῥόδωι φίλοιϲι μετριάζειν ἀεὶ καὶ μὴ πολλὰ γελᾶν 4
μηδὲ πολλὰ ϲκυθρωπάζειν, ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήϲαϲθαι, ἵνα τοῖϲ μὲν χαριέϲτατοϲ
εἶναι δόξειαϲ, οἷϲ δὲ φροντιϲτὴϲ περὶ ἀρετὴν μερμηρίζων. ἔνι μέντοι τι, Δαμάγητε, κακὸν παρ' ἕκα- 5
ϲτον αὐτοῦ γελῶντοϲ. εἰ γὰρ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸϲ φλαυρότερον. καὶ εἴποιμ' ἂν
αὐτῶι· Δημόκριτε, καὶ νοϲέοντοϲ καὶ κτεινομένου καὶ τεθνεῶτοϲ καὶ πολιορκουμένου καὶ παντὸϲ

1 ἐμῶν UVbR ἡ(ε)μῶν M ἐπειδὴ M: ἐπεὶ δὲ U ἔπειτ' R ἐπεὶ Vb δκωϲ U ἐκ ϲυντυχίηϲ U ἐϲτὶν b 2 ἀρχαίην U οὐ *pro* οὐδὲ bR πολλὰ R παρενοχλήϲουϲί ϲοι U -ϲιν ϲοι M 3 οἰκίην ὑπερευκαιρέουϲαν U τὴν ἐμ. εὐκαιροῦϲαν οἰκίαν (-ην) R ὑπερευκαιροῦϲαν Vb γονεῖϲ U γονῆ : αϲ *(rasura)* b 4 ἐκδημίην U ἀποδημίην R δ' b ὅμωϲ *om.* R ὅκωϲ U *post* μὴ *add.* διὰ R τοῦ ἀνδρὸϲ R ἀπουϲίην U 5 τῆι(ν) τἀνδρὸϲ ἀπουϲίηι(ν) b οὖν *pro* γὰρ R ἦν ἐξ ἀρχῆϲ Vr ἦν *om.* r τοὺϲ γον. R εἶχεν b 6 ἐκτόπωϲ *om.* R μάλα *om.* R αἰεὶ Vb δεῖται *pro* χρ. U ἡ γυνὴ U 7 τοῦ ϲωφρ. b καὶ τὸ Vbr εωυτέη U αὐτῆ R μὴ *om.* U μὴ *post* ἡμέρην R ἡμέρην b ἐκκόπτοιτο R 8 ὥϲπερ R δένδρεα b καθυλομανέει U ἀκριβέϲτερον οἶμαι R ἀκριβέϲτερον ·οἶδα· γονέων b ἐϲ b 9 ἐκείνοιϲι b τουτέω U τουτέοιϲι R ξυνοικέει U ϲυνοικέει r πάθοϲ bR εὐνοίηϲ U διὸ *pro* δι' οὗ R ἐπιϲκιάζονται R τὴν νουθεϲίην U 10 ἐὰν ἢ *pro* ἅτε μὴ R ὑπὸ r ἐπευνοίηϲ U ἔρρωϲο *om.* r 11 ΙΔ MU ΙΕ b Ἱπποκρ. *om.* r 12 δημάγητε r *ante* ἅλιοϲ *add.* ἧι b ἁλίαϲ R 13 τε τετροπιϲμένην *Littré*: τετροπιϲμένην *codd.* πολλὴν *om.* U ἔντεχνον bR 14 εὐδρομίην U 15 ἀλλ' *om.* R αὐτήν *om.* Vb οὖν *pro* γὰρ R 16 γὰρ *om.* bR νοϲέουϲαν ἰήϲαϲθαι . . . νοϲέοντα U 17 νοϲεῦντα R που τὸ κλέοϲ τοῦ ἀνδρὸϲ R αἰτιῆται R ἠιτί(γει)ηται b 18 μανίη U τε βούλ. R μᾶλλον καὶ εὔχομαι U μᾶλλον δὲ εὔχομαι *om.* R ἐκείνοιϲι Vb ἐκείνοιϲ r 19 δόξαν(ϲ) M δόξαϲ V δόξα γίγνεται R γελῆι br γελᾶν U φηϲὶν R οὐδέποτε R καὶ *om.* R αὐτὸ *pro* αὐτοῖϲι R 20 τοῦτο μανίηϲ bR αὐτῆϲ μανίηϲ U δοκέει U *ad* ·ὅθεν· *in marg.* τοῦτο δὲ καὶ ἔϲωθεν b τοῖϲι M: τοῖϲιν UVbR φίλοιϲι U φίλοιϲιν b τοῖϲ φίλοιϲ r αἰεὶ μετρ. b ἀεὶ *om.* VR γελῆν bR 21 *post* ϲκυθρωπ. *add.* ἀεὶ U *ante* ἄλλα *(sic) addit* καὶ U τουτέων U κτήϲαϲθαι bR: κυήϲαϲθαι V (*idem fuit in* M, *sed mut. in* κτήϲαϲθαι) κτίϲαϲθαι U *post* κτ. *addit* ·παρὰ Ἀβδηριτῶν· b 22 ἀρετῆϲ bR ἓν εἴ τι μέντοι τι M ἔνι μέντοι τι (τι *om.* R) UVbR 23 ἀμετρίη φλαῦρον τὸ διαπαν φλαυρότερον U 24 νοϲέοντοϲ U κτ(ρι)εινομένου b κτιννυμένου R τεθνειῶτοϲ *(sic)* b

6 ἐμπίπτοντος κακοῦ ἕκαστον τῶν πρηςςομένων ὕλη ςοι γέλωτος ὑπόκειται. οὐ θεομαχεῖς δέ, εἰ δύο
ἐόντων ἐν κόςμωι, λύπης καὶ χαρᾶς, ςὺ θάτερον αὐτῶν ἐκβέβληκας; μακάριός τ' ἂν ἦς, ἀλλ' ἀδύ-
νατον, εἰ μήτε μήτηρ ςοι νενόςηκε μήτε πατὴρ μήτε τὰ ὕςτερον τέκνα ἢ γυνὴ ἢ φίλος, ἀλλὰ διὰ
7 τὸν ςὸν γέλωτα, ἵνα διαςώιζηται, εὐτυχεῖς πάντα τὰ ἄλλα. νοςεόντων γελᾶις, ἀποθνηιςκόντων χαί-
ρεις, εἴ τί που πύθοιο κακόν, εὐφραίνει· ὡς πονηρότατος εἶ, ὦ Δημόκριτε, καὶ πόρρω γε ςοφίης.
ἢ νομίζεις αὐτὰ μηδὲ κακὰ εἶναι; μελαγχολᾶις οὖν, Δημόκριτε, κινδυνεύων καὶ αὐτὸς Ἀβδηρίτης
8 εἶναι, φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν δὴ τουτέων ἀκριβέςτερον ἐκεῖςε λέξομεν, Δαμά-
γητε. ἡ δὲ ναῦς καὶ τὸν χρόνον, ὃν ἐπιςτέλλω ςοι, χρονίζει. ἔρρωςο.

15. Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

1 Σύννους καὶ πεφροντικὼς ὑπὲρ Δημοκρίτεω αὐτέηι ἐκείνηι τῆι νυκτὶ καταδαρθὼν πρὸς ἀρχο-
μένην τὴν ἕω ὄναρ ἐφαντάςθην, ἐξ οὗ νομίζω κάρτα μηδὲν ἐπιςφαλὲς γενήςεςθαι· ἐκπάγλως δὲ
340 2 διηγέρθην. | ἐδόκεον γὰρ αὐτὸν τὸν Ἀςκληπιὸν ὁρῆν φαίνεςθαι αὐτέου πληςίον· ἤδη δὲ πρὸς ταῖς
τῶν Ἀβδηριτῶν πύλαις ἐτυγχάνομεν. ὁ δὲ Ἀςκληπιὸς οὐχ ὡς εἰώθεςαν αὐτέου αἱ εἰκόνες μείλι-
χόν τι καὶ πρᾶον ἰδέςθαι κατεφαίνετο, ἀλλὰ διεγηγερμένος τῆι ςχέςει καὶ ἰδέςθαι φοβερώτερος.
3 εἵποντο δὲ αὐτῶι δράκοντες ςχήματι ἑρπετῶν ὑπερφυέες, ἐπειγόμενοι δὲ καὶ αὐτοὶ μακρῶι τωι
ἐπιςύρματι καί τι φρικῶδες ὡς ἐν ἐρημίηι καὶ νάπηιςι κοίληιςι ὑποςυρίζοντες. οἱ δὲ κατόπιν ἑταῖ-
4 ροι κίςτας φαρμάκων εὖ μάλα περιεςφηκωμένας ἔχοντες ἤιεςαν. ἔπειτα ὤρεξέ μοι τὴν χεῖρα ὁ
θεὸς κἀγὼ λαβόμενος ἀςμένως ἐλιπάρεον ξυνέρχεςθαι καὶ μὴ καθυςτερεῖν μου τῆς θεραπείης. ὁ δέ·
οὐθ' ἔν τι, ἔφη, ἐν τῶι παρεόντι ἐμεῦ χρήιζεις, ἀλλά ςε αὕτη τὰ νῦν ξεναγήςει θεὸς κοινὴ ἀθανά-
5 των τε καὶ θνητῶν. ἐγὼ δὲ ἐπιςτραφεὶς ὁρέω γυναῖκα καλήν τε καὶ μεγάλην, ἀφελὲς πεπλοκιςμέ-
νην, λαμπρείμονα. διέλαμπον δ' αὐτέης οἱ τῶν ὀμμάτων κύκλοι καθαρόν τι φῶς, οἷον ἀςτέρων
6 μαρμαρυγὰς δοκέειν. καὶ ὁ μὲν δαίμων ἐχωρίςθη, κείνη δὲ ἡ γυνὴ πιέςαςά με τοῦ καρποῦ μαλ-
θακῆι τινι εὐτονίηι διὰ τοῦ ἄςτεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πληςίον τῆς οἰκίης ἦμεν, ἵνα τὴν
ξενίην ἐδόκεον εὐτρεπίςθαι, ἀπήιει ὡς φάςμα οἷον εἰποῦςα· αὔριόν ςε παρὰ Δημοκρίτεωι κατα-

2 ἐόντοιν R αὐτῶν *om.* R τ' *om.* V ἀλλὰ U 3 ἡ μήτηρ R νενόςηκεν b τέκνα μὴ γυνὴ μὴ φίλος R 4 ἵνα διαςώιζηται (ςώζηται V) εὐτυχεῖς πάντα τὰ ἄλλα MV ςώζηται br ἀλλ' εἰ δ. τ. ς. γ. πάντα ςώζεται εὐτυχεῖς πάντα U εὐτυχέεις R πάντα (τ) ἀλλὰ b τὰ *om.* UR ἀλλὰ νοςεόντων γελῆις b *ante* χαίρεις *add.* δὲ U 5 εὐφραίνει MU: εὐφραίνηι Vb εὐφραίνεαι R ὦ *om.* r ςοφίης U 6 ἢ MVr ἣν *pro* ἢ U: ἡ b ὦ *ante* δημ. r κινδυνεύω R 7 φρονιμώτερος (η) b δ' Ub ἡ *om.* R δὴ *om.* UVR τουτέων U ἐκεῖ *pro* ἐκεῖςε R λέξωμεν U 8 *post* χρόνον *addit* τοῦτον UbR κἀθ' ὃν U ὧν M ἔρρωςο *om.* R 9 ΙΈ MU ΙΣ b Ἱπποκρ. *om.* r 10 δημοκρίτεω U δημοκρίτου r αὐτέηι *om.* R καταδάρθων, *in marg.* κατακοιμηςόμενος b πρὸς ἀρχομένην τῆ ἕω U ἀρχομένη τῆ R 11 ἠῶ V ἠῶ (ξ) b ὄνειρα τί U ἐφαντάςθη V γεγενῆςθαι R ἐκπάγλως γὰρ δὲ διηγέρθην M: ἐκπλαγὸς (ἔκπλακτος b) δὲ Vb ἐκπάγλως τε U ἔκπαλτός τε R 12 ἐδόκεω *(sic)* U ὁρᾶν Ur *post* φαίνεςθαι *add.* τε UbR αὐτῶι b αὐτοῦ UV αὐτὸν R ἤδη καὶ *pro* ἤδη δὲ U τῆιςιν b 13 τῶν *om.* bR αὐτῶν *pro* τῶν U ἀβδηριτέων R πύληιςιν b εἰώθειςαν Vr ὡς ∸ ∸ ∸ εἰώθεςαν b εἰώθηςαν r αὐτοῦ br μείλιχόν (μειλιχόντι b) (ε χρ) τε καὶ πρᾶον MVb μείλιχός (μειλίχιός R) τε καὶ πρᾶος UR 14 διεγειγερμένος MU 15 ἐν ςχήματι ἑρπετῶ *sic* U χρῆμά τι bR ὑπερφυὲς R καὶ *om.* U αὐτῶ U 16 καί τοι r ἐρημίηςι καὶ νάπηςι κοίληςιν U (εὐ ρει) κοίληιςιν b κοίληςιν VR ὑποςυρίττοντες r 17 ἤιεςαν M: ἤεςαν UVbR εἶτα U ὤρεξε δὲ *pro* ἔπειτα ὤρεξε R 18 ἄςμενος R ἐςςυμένως (ἀ ς) b ἐλιπάρουν br ξυνέρχ. U ςυνέρχ. r καθυςτερέειν r μου VbR: μοι MU *ante* μου *add.* τι R θεραπείης U θεραπηΐης (εί) b 19 οὐδέν τι UR παρεόντι U παρόντι R ἐμέο UVbR χρήζεις ἐμέο R τὰ νῦν αὕτη U τὰ νῦν *om.* R ξενηγήςει R κοινὴ *om.* r 20 ὁρέω U ἀφελὲς Vb: ἀςφαλὲς Mr ἀςφαλῶς Ur 21 αὐτέης U αὐτῆς r 22 ἀμαρυγὰς b δοκέειν U πιέξαςα R 23 εὐτονίη U ἄςτεος U φιλοφρονεομένη U 24 ἐδόκεον U εὐτρεπεῖςθαι M εὐτρεπιεῖςθαι b οἷον b: μόνον MUVR δημοκρίτεω U δημοκρίτω R

λήψομαι. ἤδη δὲ αὐτῆς μεταστρεφομένης· δέομαι, φημί, ἀρίστη, τίς εἶ καὶ τίνα cε καλέομεν; ἡ δέ· 7
Ἀλήθεια, ἔφη, αὕτη δέ, ἣν προσιοῦσαν ὁρῇς, (καὶ | ἐξαίφνης ἑτέρη τις κατεφαίνετό μοι οὐκ ἀκαλ- 342
λὴς μὲν οὐδ' αὐτή, θρασυτέρη δὲ ἰδέσθαι καὶ σεσοβημένη)· Δόξα, ἔφη, καλέεται. κατοικέει δὲ παρὰ
τοῖσιν Ἀβδηρίταισι. ἐγὼ μὲν οὖν ἀναστὰς ὑπεκρινάμην ἐμαυτῶι τοὔναρ, ὅτι οὐ δέοιτο ἰητροῦ Δη- 8
μόκριτος, ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη ὡς οὐκ ἔχων ὕλην θεραπείης. ἀλλὰ ἡ μὲν Ἀλή-
θεια τοῦ ὑγιαίνειν παρὰ Δημοκρίτεωι μένει, ἡ δὲ τοῦ νοσέειν αὐτὸν Δόξα παρὰ Ἀβδηρίταις ὄντως
κατώικηκε. ταῦτα πιστεύω ἀληθέα εἶναι, Φιλοποίμην, καὶ ἔστι. οὐκ ἀπογινώσκω τὰ ὀνείρατα, μά- 9
λιστα δέ, ὁκόταν καὶ τάξιν διαφυλάττηι. ἰητρικὴ δὲ καὶ μαντικὴ καὶ πάντη ξυγγενέες εἰσίν, ἐπεὶ
καὶ τῶν δύο τεχνέων πατὴρ εἷς Ἀπόλλων, ὁ καὶ πρόγονος ἡμέων ἐούσας καὶ ἐσομένας νούσους
προαγορεύων καὶ νοσέοντας καὶ νοσήσαντας ἰώμενος. ἔρρωσο.

16. Ἱπποκράτης Κρατεύαι χαίρειν.

Ἐπίσταμαί cε ῥιζοτόμον ἄριστον, ὦ ἑταῖρε, καὶ διὰ τεὴν ἄσκησιν καὶ διὰ προγόνων κλέος, 1
ὡς μηδὲν ἀποδεῖν cε τοῦ προπάτορος Κρατεύα. νῦν οὖν, εἰ καί ποτε ἄλλοτε, βοτανολόγησον,
ὁκόσα τε καὶ ὁκοῖα δύνασαι, 'ἀνάγκαίη γὰρ ἐπείγει', καὶ διάπεμψαί μοι ταῦτα ἐπ' ἄνδρα ὅληι πόλει
ἰσοστάσιον, Ἀβδηρίτην μέν, ἀλλὰ Δημόκριτον. νοσέειν γάρ φασιν αὐτὸν καὶ καθάρσιος μάλα χρή- 2
ζειν ἐντὸς μανίης ἐόντα. μὴ χρησαίμεθα μέντοι τοῖς φαρμάκοις, ὥσπερ καὶ πέπεισμαι, ἀλλ' ὅμως
εὐτρεπίσθαι χρὴ πανταχόθεν. τὸ δὲ χρῆμα | τῶν βοτανῶν παρὰ σοὶ πολλάκις ἐθαύμασα καὶ τὴν 344
τῶν ὅλων φύσιν τε καὶ διάταξιν καὶ τὸ ἱερώτατον γῆς ἵδρυμα, ἐξ ἧς ζῶια καὶ φυτὰ καὶ τροφαὶ
καὶ φάρμακα καὶ τύχη καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ εἶχεν οἱ ἐπιβῆι φιλαργυρίη οὐδ'
ἂν Ἀβδηρῖται με νῦν δέκα ταλάντοις ἐδελέαζον ἀντὶ ἰητροῦ μισθωτὸν ἐλέγχοντες. εἰ δ' ἠδύνασο, 3
Κρατεύα, τῆς φιλαργυρίης τὴν πικρὰν ῥίζαν ἐκκόψαι, ὡς μηδὲν αὐτῆς λείψανον ἀφεῖναι, εὖ ἴσθι,
ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς νοσεούσας. ἀλλὰ ταῦτα μὲν εὐ-
χαί· σὺ δ' ἡμῖν τὸ παρεὸν μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλολόφους βοτάνας ῥιζοτόμει· στερεώτεραι

1 ἔφην R ὦ ἀρ. r καλέομεν U 2 ἀληθείη b ἀλήθειαν U αὐτὴν M: αὕτη UVbr ὁρῇς U ὁρᾶς r καὶ γὰρ R ἑτέρη U ἑτέρη *om.* r μοι *om.* R οὐκ ἀκαλλὴς μὲν Vb οὐκ ἄλλης M οὐ κακὸ μὲν ἠδ αὐτὴ *sic* U 3 οὐδὲ r θρασυτέρη δὲ ἰδέειν U ἰδέσθαι *om.* R σεσωβημένη M ·δ'· ἔφη b καλέεται U κατοικέει U 4 τοῖσι Ἀβδηρίταισι M: τοῖσιν (τῆσιν *sic* V) Ἀβδηρίταισιν Vb τοῖσιν Ἀβδηρίταις Ur Ἀβδηρίτησιν r μὲν *om.* r ὑπεκρινόμην V τὸ ὄναρ UR δεήσοιτο R 5 ὡς *om.* R θεραπείης U θεραπηῖς (ει) b ἀλλ' Vbr 6 παρὰ Δημοκρίτεωι — δόξα *om.* U δημοκρίτω r παρ' r Ἀβδηρίτησιν b ἀβδηρίτησι r 7 κατώικηκεν Ub κατοικέει R εἶναι.(ὦ) φιλοπ. b καὶ ἐστὶν V *ante* οὐκ *add.* καὶ UbR ἀπογινώσκω U ἀπογιγνώσκω b 8 διαφυλάττηι Vb (η *in ras.* b) r διαφυλάττοι R διαφυλάττει MU ἰητρικὴ U ἰατρικὴ b πάνυ μαντικὴ *vel* μαντικὴ *pro* μαν. καὶ πάνυ R πάντη V: πάνυ MUbR ξυγγενέες U συγγενὴς R ἐστὶν R ἐπειδὴ b 9 καὶ *om.* R δυοῖν Vr δυεῖν br εἷς πατὴρ ὁ Ἀπόλλων R ἡμῖν R ἐούσας καὶ *om.* R ἐούσας καὶ ἐσομένους νούσους *sic* U 10 νοσέοντας U προαγορεύων UVb προαγορεύειν M προσαγορεύων R καὶ νοσήσαντας *om.* R ἔρρωσο *om.* R 11 ιϛ´ MU ιζ´ b ἱπποκρ. *om.* R 12 ῥιζοτόμον (ω) b ἄριστον.(ὦ) ἑταῖρε b ὦ *om.* r τεὴν b: τὴν MUVb τὸ προγόν. R 13 *post* cε *add.* δυνάμει b 14 ὁκόσα U οἷα Ur ἀναγκαίη U *Hom.* Z *85.* τ *72* αὐτὰ *pro* ταῦτα bR 15 νοσέειν U αὐτὸν φασὶ R καθάρσιος U 16 μανίης ἐόντα U ὄντα r μὲν οὖν R μέντοι (ουν σου) τοῖσι φαρμάκοισιν b 17 εὐτρεπίσθαι UV: εὐτρεπεῖσθαι M εὐτρεπιεῖσθαι b εὐτρεπίσασθαι R πολλάκις παρὰ σοὶ R ἐθώυμασα (α) b *ante* καὶ *add.* ὡς UbR 18 ὅλων ·γε· b τὰ ξ. κ. τὰ φυτὰ R 19 αὐτὸς *om.* U *ante* εἶχε *add.* ἂν U ποῖ U ἡ *om.* M ἡ b ἡ φιλαργυρίη UVR 20 μεν////ῦν M (*fuit* μεν νυν) ἀντὶ ἠτροῦ *(sic)* U εἶθε ·δ' εἰήδύνασο (εἰδύν. *corr. in* ἠδύν.) b εἴθε δὲ *pro* εἰ δ' R 21 φιλαργυρίης U πικρὴν b 22 ὡς ἐκαθήραμεν b ἐκάθηρες ἂν U ἀνθρώπων ÷ μετὰ b καὶ *om.* R τὰς ψυχαῖς νοσεούσας U νοσούσας b νοσεούσας *om.* R εὐχαι/// M (*fuit* ευχαιο) 23 παρεὸν U ὑψηλοφύτους R ὑψιλοφόρους U ὑψιλόφους b ῥιζοτ. βοτ. R στεραιότεραι M

γὰρ τῶν ὑδρηλοτέρων εἰςὶν καὶ δριμύτεραι μᾶλλον διὰ τὴν τῆς γῆς πυκνότητα καὶ τὴν λεπτότητα
4 τοῦ ἠέρος· ὅτι γὰρ ἕλκουςιν, ἐμψυχότερόν ἐςτιν. πειρήθητι δ' ὅμως καὶ τὰς παρὰ λίμναις ἑλεί-
ους πεφυκυίας ἀνθολογῆςαι καὶ τὰς παραποταμίους ἢ κρηνίτιδας ἢ πιδακίτιδας παρ' ὑμῖν καλεο-
5 μένας, ἃς ἀςθενέας καὶ ἀτόνους καὶ γλυκυχύλους εἶναι πέπειςμαι. πάντα δέ, ὁκόςα χυλοί τε καὶ
ὀποὶ ῥέοντες, ἐν ὑαλίνοιςιν ἀγγείοιςι φερέςθωςαν, ὁκόςα δ' αὖ φύλλα ἢ ἄνθεα ἢ ῥίζαι, ἐν κώθωςι
καινοῖς περιεςφηκωμένοις, ὅκως μὴ διαυγαζόμενα τῆιςι πνοῆιςι ἐκλείπηι τὸν τόνον τῆς φαρμακίης
ὥςπερ λιποψυχήςαντα. ἀλλ' εὐθὺς ἡμῖν ταῦτα πέμψον· καὶ γὰρ ἡ ὥρη τοῦ ἔτεος ἁρμόδιος καὶ
346 6 ἡ ἀνάγκη τῆς λεγομένης μανίης ἐπείγει. τέχνης δὲ πάςης ἀλλότριον | ἀναβολή, ἰητρικῆς δὲ καὶ
πάνυ, ἐν ἧι ψυχῆς κίνδυνος ἡ ὑπέρθεςις· ψυχαὶ δὲ τῶν θεραπειῶν οἱ καιροί, ὧν ἡ παραφυλακὴ
7 τὸ τέλος. ἔλπομαι μὲν οὖν ὑγιέα εἶναι τὸν Δημόκριτον καὶ δίχα ἰήςιος. εἰ δ' ἄρα τι ςφάλμα φύ-
ςιος ἢ καιροῦ ἢ ἄλλης τινὸς αἰτίης γένοιτο (πολλὰ γὰρ ἡμέας θνητοὺς ἐόντας λάθοι ἅτε μὴ πάγχυ
δι' ἀτρεκείης εὐτονέοντας), ἐπὶ τὸ ἄδηλον πᾶςαν χρεὼ δύναμιν ἠθροῖςθαι. οὐ γὰρ ἀρκέεται ὁ κιν-
δυνεύων οἷς δυνάμεθα, ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα, καὶ ςχεδὸν πρὸς δύο ςτρατευόμεθα, τὸ
8 μὲν ἀνθρώπου, τὸ δὲ τέχνης, ὧν τὸ μὲν ἄδηλον, τὸ δὲ τῆς ἐπιςτήμης ὥριςται. δεῖ δὲ ἐν ἀμφο-
τέροιςι τουτέοιςι καὶ τύχης. τὸ γὰρ ἀτέκμαρτον ἐν ταῖς καθάρςεςι δι' εὐλαβείης ἰόντων. καὶ γὰρ
ςτομάχου κάκωςιν ὑφορώμεθα καὶ ξυμμετρίην φαρμακίης πρὸς ἀγνοουμένην φύςιν ςτοχαζόμεθα.
9 οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύςις ἁπάντων, ἕτερον δ' αἰεὶ καὶ πρὸς ἑωυτέην ὁρίζουςα οἰκειοῖ. ἐνίοτε
δὲ καὶ ταῖς βοτάναις πολλὰ τῶν ἑρπετῶν ἐνιοβόληςε καὶ περιχανόντα τῆι ἐντὸς αὔρηι κάκωςιν
ἀντ' ἀλεξήςιος αὐτοῖς προςέπνευςεν. εἰ μή τις ἄρα κηλὶς ἢ ςπίλος ἢ ὀδμὴ θηριώδης καὶ ἀπηνὴς
τοῦ γενομένου ξύμβολον φανείη, εἶθ' ἡ τέχνη διὰ τὸ ξύμπτωμα τῆς τύχης τῆς κατορθώςιος ἀφή-
10 μαρτε. βεβαιότεραι δὲ αἰεὶ αἱ δι' ἐλλεβόρων διὰ τοῦτο καθάρςιες, ἧιςι καὶ Μελάμπους ἐπὶ τῶν
348 Προίτου θυγατέρων καὶ Ἀντικυρεὺς ἐφ' Ἡρακλέους ἱςτορέονται | κεχρῆςθαι. μὴ χρηςαίμεθα δὲ ἡμεῖς
ἐπὶ Δημοκρίτου μηδενὶ τούτων, ἀλλὰ γένοιτο ἐκείνωι τῶν δραςτικωτάτων καὶ ἰητρικωτάτων φαρ-
μάκων ςοφίη τέλος. ἔρρωςο.

1 εἰςὶ b 2 ἐμψυχότερον UR ἐμψυ^{ρ}χότερον b ἐνψυχρότερον M (ἐμψ. V) ἐςτι UVR πειρήθητι U πειράθητι R λίμνας M ἐλείους UR ἐλίους MVb 3 ποταμίους UVb κρηνήτιδας UVR καλεομένας U ἢ πιδακ. *om.* R ἢ πιδ. — καλεομένας *om.* V ἡμῖν R 4 ἃς ἀςθεν. b: ἃς *om.* UMVR ἀςθενέας U ὁκόςα U τε *om.* R 5 ὑαλίνοιςιν b υαλιοιςι M ὑελίνοις U ὑελίοιςιν V ὑελ(εί)οῖς R ἀγγείοις Ur ὁκόςα U ἂν *pro* αὖ br πάνθεα *sic* V, *idem ex* ἢ ἄνθεα *corr.* M ἢ ῥίζαι *om.* R 6 καινοῖςι bR καινοῖςι *om.* r περιεςφηκωμένοιςιν b διαυ^{γα}ζόμενα M διαρριπιζόμενα *pro* διαυγ. R πνοιῆιςιν bR ἐκλείπει M ἐκλίπη VR ἐκλε^{υ}ίπηι b ἐκλίπει *sic* U φαρμακείης Mr 7 λ^{ά}ιποψυχήςαντα b λειποψυχ. U ἀπολειποψ. V ἀπολιποψυχήςαντα M ἀποψυχήςαντα R ταῦτα . ·πάντα πέμψον b ὥρα r 8 μανίης U μὲν γὰρ *pro* δὲ U *post* πάςης *add.* μὲν VbR 9 ἢ ὅτι ψυχαὶ τῶν θεραπειῶν οἱ καιροὶ *i. mg.* b ψυχῆς *pro* ψυχαὶ U θεραπηϊῶν b ·παρα·φυλακὴ b μὲν b μὲν *om.* R 10 ὑγιαίνειν U τὸν *om.* R ἰήςιος U εἰ δέ τι U φύςιος UVb φύςεως MR 11 ἄλλως U ἄλλη τις αἰτίη R *post* γὰρ *add.* ἂν UR ἡμέας U ἡμᾶς r ἐόντας U μηδ' ἀτρεκίης *pro* δι' ἀτρ. R 12 ἀτρεκίης Ub εὐτον^{ρμό}έοντας U χρέο MV χρεὼ UbR ἀρκέεται U ἠθροῖςθαι b 13 *post* ςχεδὸν *add.* ἀεὶ UbR *post* ςτρατ. *add.* τέλεα UbR 14 δ' ἐν b 15 τουτέοιςιν b ἀμφοτέροις τούτοις r τούτοιςι r ταῖςι, τοῖςι, τῆςι r δι' εὐλαβίης τοῖςιν ἢ ἢ πόοις *sic* U καὶ γὰρ *om.* R καὶ γὰρ καὶ U 16 καὶ *ante* ςτομ. R κάθαρςιν *pro* κάκωςιν R ςυμμετρίην Ur φαρμακείης MR φαρμακέης *(sic)* U 17 ὠϋτὴ V αὐ^{ωυ}τὴ b ἴ^{φυ}αςις b ςτάςις U δὲ b δὲ εἰ M καὶ *om.* bR δ' αἰεὶ U ἑωυτὴν Vr ἑωυτέην U ὁρίζουςαν R οἰκειοῖ M οἰκεῖον UVbR 18 *post* δὲ *add.* ^{δὲ}·τὸ πᾶν ἀπώλεςεν· b ταῖςι βοτάναιςι R ἐνιοβόληςεν b αὔρη U 19 ἀλεξήςιος U ἀλέξιος R αὐτοῖςι br αὐτῆςι r *post* προςέπν. *add.* καὶ τούτου ἄγνοια ἔςται U θηριώδης ÷ καὶ b 20 ξύμβ. U ςυμβ r εἶτα ἡ U ςυμπτ. Ubr κατορθώςιος U 21 δὲ αἰεὶ M δ' αἰεὶ U (ἀεὶ b) VbR διὰ τοῦτο *om.* U καθάρςιες U ἧιςι *Hercher:* εἰςιν M εἰςι UV εἰςιν αἷς b αἷς καὶ *sine* εἰς. R 22 ἀντικηρεὺς R ἀντίκυ^{εὺς}ρις b ἡρακλέα R ἱςτορέονται U μὴ *om.* U δ' b 23 δημοκρίτεω UbR τουτέων Ur γίνοιτο R ἐκείνων b τὰ δραςτικώτατα τῶν φαρμάκων U καὶ ἰητρ. *om.* UR 24 ςοφίης Ur ςοφί^{ς}η b, M *habuit* ςοφίη, *sed alia manus in* ςοφίης *mutavit* τέλος ἔρρωςο *om.* R

17. Ἱπποκράτης Δαμαγήτωι χαίρειν.

Τοῦτ᾽ ἐκεῖνο, Δαμάγητε, ὅπερ εἰκάζομεν, οὐ παρέκοπτεν Δημόκριτος, ἀλλὰ πάντα ὑπερεφρό- 1
νεε καὶ ἡμέας ἐσωφρόνιζε καὶ δι᾽ ἡμέων πάντας ἀνθρώπους. ἐξέπεμψα δέ σοι, φιλότης, ὡς ἀλη- 2
θέως τὴν Ἀσκληπιάδα νῆα, ἣν πρόες μετὰ τοῦ Ἁλίου ἐπίσημον καὶ Ὑγείηι, ἐπεὶ κατὰ δαίμονα τῶι
ὄντι ἱστιοδρόμηκε καὶ ἐκείνηι τῆι ἡμέρηι κατέπλευσεν εἰς Ἄβδηρα, ἧιπερ αὐτέοις ἐπεστάλκειν ἀφί-
ξεσθαι. πάντας οὖν ἀλέας πρὸ τῶν πυλέων εὕρομεν ὡς εἰκὸς ἡμέας περιμένοντας, οὐκ ἄνδρας 3
μούνους, ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ [παιδία] ἠιθέους κατηφέας καὶ τὰ νήπια·
οὗτοι μὲν τοῖοι ὡς ἐπὶ μαινομένωι τῶι Δημοκρίτωι, ὁ δὲ μετ᾽ ἀκριβείης τότε ὑπερεφιλοσόφεεν.
ἐπεὶ δέ με εἶδον, ἔδοξάν που σμικρὸν ἐφ᾽ ἑωυτῶν γεγονέναι καὶ χρηστὰς ἐλπίδας ἐποιοῦντο. ὁ δὲ 4
Φιλοποίμην ἄγειν ἐπὶ τὴν ξενίην με ὥρμητο κἀκείνοισι ξυνεδόκεε τοῦτο. ἐγὼ δέ· ὦ ἄνδρες, ἔφην,
Ἀβδηρῖται, οὐδέν ἐστί μοι προὔργου ἢ Δημόκριτον θεήσασθαι. οἱ δ᾽ ἐπήινουν ἀκούσαντες καὶ ἥσθη-
σαν, ἠπείγοντο δὲ | ξυντόμως διὰ τῆς ἀγορῆς, οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες ἑτέρωθεν ἕτεροι·
σῶιζε, λέγοντες, βοήθει, θεράπευσον. κἀγὼ παρήινεον θαρρεῖν ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ, 5 350
πίσυνος ἐτησίαις ὥραις, εἰ δ᾽ ἄρα καί τινος, βραχέος, εὐδιορθώτου. καὶ ἅμα ταῦτα λέγων ἤιειν.
οὐδὲ γὰρ πόρρω ἦν ἡ οἰκίη, μᾶλλον δ᾽ οὐδ᾽ ἡ πόλις ὅλη. παρῆμεν οὖν (πλησίον γὰρ τοῦ τείχους 6
ἐτύγχανε) καὶ ἀνάγουσίν με ἡσυχῆι· ἔπειτα κατόπιν τοῦ πύργου βουνὸς ἦν τις ὑψηλός, μακρῆισι
καὶ λασίηισιν αἰγείροισιν ἐπίσκιος, ἔνθεν τε ἐθεωρεῖτο τὰ τοῦ Δημοκρίτου καταγώγια. καὶ αὐτὸς 7
ὁ Δημόκριτος καθῆστο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλῆι πλατανίστωι ἐν ἐξωμίδι παχείηι, μοῦνος,
ἀνήλιπος, ἐπὶ λιθίνωι θώκωι, ὠχριακὼς πάνυ καὶ λιπόσαρκος, κουριῶν τὰ γένεια. παρ᾽ αὐτὸν δ᾽ 8
ἐπὶ δεξιῆς λεπτόρρυτον ὕδωρ κατὰ πρηνοῦς τοῦ λόφου ἠρεμαίως ἐκελάρυζεν. ἦν δέ τι τέμενος
ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίηι κατεικάζοντι, νυμφέων ἱδρυμένον, αὐτοφυτοῖς ἐπηρεφὲς
ἀμπέλοις. ὁ δ᾽ εἶχεν ἐν εὐκοσμίηι πολλῆι ἐπὶ τοῖν γονάτοιν βιβλίον, καὶ ἕτερα δέ τινα ἐξ ἀμφοῖν 9

1 ΙΖ MU ΙΗ b ἱπποκρ. *om.* r δημαγήτω r 2 τοῦτο r τοῦτο ἦν *(sic)* ἐκεῖνο U παρέκοπτε UVbr πάντα (ς superscr.) b πάντας R ὑπερεφρόνεεν b ὑπὲρἐφρόνεε U 3 ἡμέας — ἡμέων U ἐσωφρόνιζεν b ἐσωφρόνιζε *post* ἡμ. *iteravit* R ἐξέπεμψα (μ superscr.) b ἐξεπέμψαμεν U ἀληθῶς r 4 νῆα U ἣν MV ἢ U ἧι br πρόες V: πρόςθε M πρόθες b πρόςθες R πρότερον U ἐπίσημον M, ν *ex* υ *corr. ead. m.* ὑγιῆ MUV ὑγιείην b ὑγιείην R 5 ἡμέρη U αὐτέοισιν (ος superscr.) ἐπεστάλκειν (εα superscr.) b αὐτέοις ἀπεστάλκειν U αὐτοῖς r 6 α°λεας *(sic)* M ἀλέας V ἀολλέας b ἀολλέας UR πυλῶν VbR ἡμέας U 7 μοῦνον U μόνον R καὶ *ante* πρεσβ. *om.* Vb ἔτι καὶ πρεσβ. U *scripsi* ἠιθέους: ἠηθέους κατηφέας V, *idem habuit* M, *sed mutavit altera m. in* νὴ θεοὺς κατηφέα////, *quod* UbR *praebent* τοὺς θεοὺς R παιδία *seclusi* 8 καὶ *ante* οὗτοι *add.* UV ·καὶ· οὗτοι b *scripsi* τοῖοι: μέντοι ὡς MUVb, μέντοι ὧδε εἶχον ὡς R, *post* δημοκρίτω *add.* ὧδε εἶχον U, *idem i. mg. alia m. add.* ὧδε εἶχ *(sic)* M μετὰ Ubr ἀκριβίης U ὑπὲρ ἐφιλοσόφιεν *(sic)* U 9 που *om.* R που ·ἡδίου·ς μικρόν τι b σμικρ. ἐφ᾽ ἑωυτῶν U ἐφ᾽ἑωυτοῖσι b μικροῦ R ἑαυτῶν *sine* ἐφ᾽ R ἐποιεῦντο b ἐποιέοντο r 10 με ἐπὶ τὴν R ξενίην U ξενίαν r σὺν ἐδόκεε U συνεδ. r ἐγὼ δὲ ἔφην ὦ ἀβδ. R 11 προὔργου b θεήσασθαι U θεάσασθαι V δὲ r ἐπήινεον b ἐπήνεον r 12 *scripsi* ἠπείγοντο: ἤγοντο δὲ V, *idem erat in* M, *sed mut. alia(?) m. in* ἤγοντε///ξυντ. *(ras. duar. litt.)* ἦγον *(sic)* τέ με U ·ἦγον. τέ· ·αὐ.τῶν· συντόμως b συντόμως Ubr ἀγορᾶς r 13 σῶιζε UVb, *idem erat in* M, *sed erasit alia manus et mut. in* ὦ ζεῦ; ὦ ζεῦ βασιλεῦ R παρηγόρεον (ιν superscr.) b παρηγόρουν R παρήνεον U ἐόντος U οὐθένος R ἐόντος *om.* R 14 ἐτησίηισιν ὥρηισιν bR βραχέος εὐδ. *codd.*, *sed ex* βραχέως ἐκδ. *corr.* M βραχ. καὶ εὐδ. U ἠκίη *(sic)* U 15 δὲ οὐδ᾽ U οὐδὲ r ὅλη *om.* R παρῆμεν UVb: παρήιμεν M παρήειμεν r δὲ *pro* γὰρ Vb τείχεος br 16 ἐτύγχανεν b ἀνάγουσί με Ub ἡσυχίη R τις ἦν R μακρῖσι U 17 λασίηισιν bR δασῆισιν MV δασείησι U αἰγείρισιν U ἐντεῦθεν (θεντε superscr.) b ἐντεῦθε U *pro* ἔνθεν τε, τε *om.* R ἑωρᾶτο *pro* ἐθεωρ. R δημοκρί ÷ τεω b 18 ὁ *om.* b ἐκάθητο UR χθαμαλῆι (ω superscr.) b παχείη U μοῦνος U 19 ἀνήλιπος U: ἀνήλιπος (φ superscr.) b ἀνείληφος MV, *sed corr. in* ἀνήληφος M, *ad quod inter columnas add. alia m.* εκτετηγμενος ἢ ανυποδητος, ἀνήλιφος R, ἀνήλειφος r θώκωι *superscr. al. m.* καθέδρα M ὠχριηκὼς b λειπόσαρκος UVR κουρειῶν b δὲ r 20 δεξιῆς U λεπτόρρυτον b λεπτόρυτον V πρηνέος b *ante* ἠρεμ. *add.* θέον br 21 ὑπὲρκείμενον *(sic)* U ὑπονίη UV νυμφέων U αὐτοφύτοισιν Ubr ἐπηρεφὲς R: ἐπιρρεφὲς MVb ἐπιρεφ. U 22 ἀμπέλοισιν Ubr εὐκοσμίη U γουνάτοιν V τῶν γονάτων U

τοῖν μεροῖν αὐτέωι παρεβέβλητο· cεcώρευντο δὲ καὶ ζῶια cυχνὰ ἀνατετμημένα δι' ὅλων. ὁ δὲ
352 ὁτὲ μὲν ξυντόνως ἔγραφεν ἐγκείμενος, ὁτὲ δὲ ἠρέμει πάμπολύ | τι ἐπέχων καὶ ἐν ἑωυτῶι μερ-
μηρίζων. εἶτα μετ' οὐ πολὺ τουτέων ἐρδομένων ἐξαναστὰς περιεπάτει καὶ τὰ cπλάγχνα τῶν ζώι-
10 ων ἐπεσκόπει καὶ καταθεὶς αὐτὰ μετελθὼν ἐκαθέζετο. οἱ δὲ Ἀβδηρῖται περιεστῶτές με κατηφέες
καὶ οὐ πόρρω τὰς ὄψεις δακρυόντων ἔχοντές φασιν· ὁρῆις μέντοι τὸν Δημοκρίτου βίον, ὦ Ἱππό-
κρατες, ὡς μέμηνεν καὶ οὔτε ὅτι θέλει οἶδεν οὔτε ὅτι ἔρδει; καί τις αὐτέων ἔτι μᾶλλον ἐνδείξα-
cθαι βουλόμενος τὴν μανίην αὐτέου, ὀξὺ ἀνεκώκυcεν εἴκελον γυναικὶ ἐπὶ θανάτωι τέκνου ὀδυρο-
11 μένηι· εἶτ' ἀνώιμωξεν ὑποκρινόμενος παροδίτην ἄλλος ὀλέcαντα, ὃ διεκόμιζεν. καὶ ὁ Δημόκριτος
ὑπακούων τὰ μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα καὶ οὐκέτι οὐδὲν ἔγραφε, τὴν δὲ κεφαλὴν θαμινὰ ἐπέcειεν.
12 ἐγὼ δέ· ὑμεῖς μέν, ἔφην, Ἀβδηρῖται, αὐτόθι μίμνετε· ἐγγυτέρω δ' αὐτὸς καὶ λόγων καὶ cωμάτων
τἀνδρὸς γενηθεὶς ἰδών τε καὶ ἀκούσας εἴcομαι τοῦ πάθους τὴν ἀλήθειαν. καὶ ταῦτ' εἰπὼν κατ-
13 έβαινον ἡcυχῆι. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον· μόλις οὖν διαcτηριζόμενος διῆλθον.
ἐπεὶ δ' ἐπληcίαζον, ἔτυχεν ἐπελθὸν αὐτέωι ὅτι δήποτε γράφειν ἐνθουcιωδῶς καὶ μεθ' ὁρμῆς· εἱ-
cτήκειν οὖν περιμένων αὐτέου τὸν καιρὸν τῆς ἀναπαύcιος· ὁ δὲ μετὰ cμικρὸν τῆς φορῆς λήξας
14 τοῦ γραφείου ἀνέβλεψέν τε εἰς ἐμὲ προcιόντα καί φηcιν· χαῖρε, ξένε. κἀγώ· πολλά γε καὶ cύ,
854 Δημόκριτε, ἀνδρῶν cοφώτατε. | ὁ δὲ αἰδεcθείς, οἶμαι, ὅτι οὐνομαcτὶ μὴ προcεῖπέν με· cὲ δέ, ἔφη,
15 τί καλέομεν; ἀγνοίαι γὰρ τοῦ cοῦ ὀνόματος ἦν πρόφαcις ἡ τοῦ ξένου προcηγορία. Ἱπποκράτης,
ἔφην, ἔμοιγε τοὔνομα, ὁ ἰητρός. ὁ δὲ εἶπεν· ἡ τῶν Ἀcκληπιαδῶν εὐγένεια, πολύ γε cοῦ τὸ κλέος
τῆς ἐν ἰητρικῆι cοφίης πεφοίτηκεν καὶ ἐς ἡμέας ἀφῖκται· τί δὲ χρέος, ἑταῖρε, δεῦρό cε ἤγαγε;
μᾶλλον δὲ πρὸ πάντων κάθηcο. ὁρῆις δέ, ὡς ἔστιν οὗτος οὐκ ἀηδὴς φύλλων θῶκος, ὅτι χλοερὸς
16 καὶ μαλθακὸς ἐγκαθίcαι προcηνέcτερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων. καθίcαντος δέ μου πά-
λιν φηcίν· ἴδιον οὖν ἢ ἐπιδήμιον πρῆγμα διζήμενος δεῦρο ἀφῖξαι; φράζε cαφῶς. καὶ γὰρ ἡμεῖς
17 ὅτι δυναίμεθα cυνεργοῖμεν ἄν. κἀγώ· τὸ μὲν κατ' ἀληθείην, ἔφην, αἴτιον, cέο δεῦρο χάριν ἥκω

1 αὐτοῦ U αὐτῶ r παρεμβέβλητο U cεcώρευτο bR ἐcετώρευντο U 2 cυντόνως b cυντόμως R τε *pro* τι R καὶ ·ἦν· ἐν b 3 τουτέων U τούτων r *ante* ἐρδ. *add.* τῶν b *inter col.* πραττομένων *al. m.* M 4 περιεπάτεε Ur περιεcκόπεε R πάλιν *ante* ἐκαθ. *add.* U κατηφέες U 5 ὄψιας b δακρύων R ὁρῆς U ὁρᾶς r μέντοι ·που· τὸν b τοῦ δημοκρ. R δημοκρίτεω b *ante* ὦ *add.* αὐτὸς b 6 μέμηνε UVb μέμηνεν ὦ ἱππ. R μέμηνε :–– ––: καὶ b ἐθέλει b αὐτέων U ὃ *pro* ὅτι R ἔτι *om.* R 7 τὴν μανίην βουλ. αὐτοῦ U μανίην ·αὐτέου· ὀξὺ b ἐκώκυcεν R ἴκελον Vbr ὀλοφυρομένηι (δ, υ) b ὀλοφυρομένη *pro* ὀδυρ. UR 8 εἶτα Ubr ἀνώιμωξε πάλιν ἄλλος ὑποκρ. b εἶτα ἀνώμ. πάλιν ὑποκρ. παροδ. ἄλλον U ὃ V: ὀλέcαντα διεκ. (*alt.* α *in ras.*, *fuit certe* ο) M ὀλέcαντά τι ὧν U ἀπωλέcαντά *(sic)* τι ·ὧν δ δᾶν· διεκόμιζεν b *pro* ὃ *exh.* ὃν R διεκόμιζε UVR 9 ἐπακούων UR ἀκούων r καὶ *om.* R ἔγραφεν b γράφων R 10 ὦ ἀβδ. R αὐτοῦ R μείνατε UR καὶ cώματος κ. λ. b λόγου R καὶ λόγ. τἀνδρὸς καὶ cωμ. γενήcομαι καὶ ἀκριβέcτερον ἰδὸν καὶ *(sic)* U 11 τε *om.* R πάθεος bR ἀληθείην b ταῦτα br 12 δ' b δ' οὖν R 13 δὲ UbR ἐπελθὼν MUV τότε ἐπελθὸν R ἔτυχε(τ)ν ὅτε ἐπ(ε)ῆλθὸν b αὐτέω U αὐτῶ r 14 τὸν κ. αὐτέου τῆς ἀναπαύcιος U λήξας τ. γραφείου τῆς φορᾶς U λ. τ. φ. b 15 γραφίου MV γράφειν (ιου) b γράφειν R ἐνέβλεψε V ἐνέβλεψέ (α) τε b προcέβλεψε R φηcὶ Ub καὶ φηcὶ προcιόντα V ξεῖνε Ubr δὲ *pro* γε R 16 ἀνδρ. cοφ. Δημ. U ὀνόμαcτι R οὐνομά τι (cτι) b ὀνόματι U προcεῖπέ UVR μοι V δ' ἔφη V 17 τίνα r καλέομεν U καλέωμεν V ἀγνοίαι b: ἄγνοια MUV ἀγνοίη r ἦν *om.* R πρόφ. ἦν b ξείνου UR προcηγορίη U 18 ἐμοὶ (γε) τοὔνομα b οὔνομα U ὄνομα R ἰητρὸς U ὁ ἰητρὸς εἶπεν· ἡ b 19 ἐν ἰητρικῆς cοφίης U πεφοίτηκεν Mb (οι *in ras.* M) πεφοίτηκε UVR ἐς ἡμέας U ὡς ἐμὲ *pro* καὶ — ἀφῖκται R τί δέ cε χρέος UbR δεῦρ' ἤγαγεν ἑταῖρε R δεῦρ' ἤγαγε (-εν b) Ub 20 κάθιcο b κάθιcον R κάθηcιν *(sic)* U ὁρῆς U ὁρᾶς r δὲ ·ὡς· ἔcτιν ἀειδὴς (η) φυτῶν (λλ) θῶκος (ημ) b, *i. mg.* γρ. ἐπιτερπὴς φύλλων θημῶν b τὸν οὕτως οὐκ ἀηδῆ φύλλων θημῶνα ὡς *pro* ὡς … ὅτι R θῶκος φύλλων V ὅτι *om.* Vb ἔτι U χλωρὸς M 21 μαλθακὸς U μαλακὸς R ἐcτι καθίcαι R *ante* προcην. *add.* καὶ r τῆς *om.* br ψυχῆς *pro* τύχης M αὖτις *pro* πάλιν b 22 ἴδιόν τι ἢ δήμιον U ἴδ. οὖν τι bR ἐπιδήμιον b διζ. πρῆγμα (πρᾶγμα U) UbR δεῦρ' b cαφέως br ἡμέες br 23 ἂν *om.* UR ἀληθείην U ·αἴτιον· b cέο χάριν *om.* U

ξυντυχεῖν σοφῶι ἀνδρί· ἔχει δὲ πρόφασιν ἡ πατρίς, ἧς πρεσβείην τελέω. ὁ δέ· ξενίηι τοίνυν,
φησί, τὰ πρῶτα κέχρηςο ἡμετέρηι. πειρεύμενος δὲ κἀγὼ κατὰ πάντα τἀνδρὸς καίπερ ἤδη μοι δή- 18
λου μὴ παρακόπτειν ἐόντως· Φιλοποίμενα οἶσθα, ἔφην, πολίτην ἐόντα ὑμέτερον; ὁ δέ· καὶ μάλα,
εἶπεν, τὸν Δάμωνος λέγεις υἱὸν τὸν οἰκοῦντα παρὰ τὴν Ἑρμαΐδα κρήνην; τοῦτον, εἶπον, οὗ καὶ 19
τυγχάνω ἐκ πατέρων ἴδιος ξένος· ἀλλὰ σύ, Δημόκριτε, τῆι κρείσσονί με ξενίηι δέχου. καὶ πρῶτόν
γ' αἰτίην τούτου, ὃ τυγχάνεις γράφων, φράζε. | ὁ δ' ἐπισχὼν ὀλίγον· περὶ μανίης, ἔφη. κἀγώ· 20 356
ὦ Ζεῦ βασιλεῦ, φημί, εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δέ· ποίην, φησίν, πόλιν, Ἱππό-
κρατες; ἐγὼ δέ· οὐδέν, ἔφην, ὦ Δημόκριτε· ἀλλ' οὐκ οἶδ' ὅπως προὔπεσεν. ἀλλὰ τί περὶ μανίης
γράφεις; τί γάρ, εἶπεν, ἄλλο πλὴν εἴ τις τε εἴη καὶ ὅκως ἀνθρώποις ἐγγίνεται καὶ τίνα τρόπον 21
ἀπολωφέοιτο. τά τε γὰρ ζῶια, ἔφη, ταῦτα, ὁκόσα ὁρῆις, τουτέου μέντοι γε οὕνεκα ἀνατέμνω, οὐ
μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶσθα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίη
ἐπὶ τὸ πουλὺ αὕτη πλεονάσασα, ἐπεὶ πᾶσιν μὲν φύσει ἐνυπάρχει, ἀλλὰ παρ' οἷς μὲν ἐλάττων, παρ'
οἷς δέ τι πλείων. ἡ δ' ἀμετρίη αὐτέης νοῦσοι τυγχάνουσιν, ὡς ὕλης ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύ-
λης ὑποκειμένης. κἀγώ· νὴ Δία, ἔφην, ὦ Δημόκριτε, ἀληθέως γε καὶ φρονίμως λέγεις· ὅθεν εὐ- 22
δαίμονά σε κρίνω τοσαύτης ἀπολαύοντα ἡσυχίης. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρεο-
μένου δέ· διὰ τί, ὦ Ἱππόκρατες, οὐκ ἐπιτέτραπται; ὅτι, ἔφην, ἢ ἀγροικίη ἢ τέκνα ἢ δάνεια ἢ νοῦ-
σοι ἢ θάνατοι ἢ δμῶες ἢ γάμοι ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ὑποτέμνεται. ἐνταῦθα δὴ ὁ ἀνὴρ 23
εἰς τὸ εἰωθὸς κατηνέχθη καὶ μάλα ἀθροῦν τι καὶ ἀνεκάγχασε καὶ ἐπετώθασε καὶ τὸ λοιπὸν ἡσυχίην
ἦγε. κἀγώ· τί μέντοι, Δημόκριτε, ἔφην, γελᾶις; | πότερον τὰ ἀγαθά, ὧν εἶπον, ἢ τὰ φλαῦρα; ὁ 358
δὲ ἔτι μᾶλλον ἐγέλα. καὶ ἄπωθεν ὁρεῦντες οἱ Ἀβδηρῖται οἱ μὲν τὰς κεφαλὰς αὐτέων ἔπαιον, οἱ 24
δὲ τὰ μέτωπα, οἱ δὲ τὰς τρίχας ἔτιλλον. καὶ γάρ, ὡς ὕστερον ἔφησαν, πλεονάζοντι παρὰ τὸ εἰ-
ωθὸς ἐχρήσατο τῶι γέλωτι. ὑποτυχὼν δ' ἐγώ· ἀλλὰ μήν, ἔφην, σοφῶν ἄριστε, Δημόκριτε, ποθέω 25
γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος ἢ τὰ λεχθέντα,

1 συντυχεῖν b ἕνεκεν σεῦ· δεῦρο γὰρ ἥκω σοι συντυχεῖν R ἀνδρὶ σοφῷ R ἧς b πρεσβείαν r σὴν πρεσβείην τελέως *(sic)* U ξενίηι b ξενίη ... (2) ἡμετέρη U 2 φησίν b φησί *om.* R πειρόμενος *(sic)* U πειρώμενος r δ' ἐγὼ b κἀγὼ *om.* R καταδήλου U 3 *emendavi* ἐόντως. *cf. ep. 14* μὴ ὄντως αὐτὸν παρακόπτειν ἐνεόντος MV ἐόντος Ub ἐόντος *om.* R οἶσθα[ς] b πολιήτην ὑμέτ. ἐόντα b ἐόντα U ὑμέτερον *in textu om.* M, *add. in mg.* μαλ' εἶπεν b 4 εἰ τὸν Δήμωνος R Δάμονος MU οἰκεῦντα Vb οἰκέοντα r ὧι *pro* οὗ VbR 5 ·φίλιος ξεῖνος· *i. mg.* γρ. ἰδιόξενος b ἰδιόξενος R ἴδιος ξένος U κρείττονι b κρέσσονι r ξενίη U δέχευ b 6 *emendavi* αἰτίην: γε τι ἦν (τί ἦν Vb) MVb τοῦτο MUb: τοῦ ὃ γράφεις φράζε V, γε τί τοῦτο ὃ γράφων τυγχ. φρ. U ὃ γράφ. τυγχάνεις bR δὲ Ur ὀλίγον χρόνον b μανίης U 7 ὦ *om.* R γράφεις U ἀντιγράφεις [·πρὸς·] τὴν πόλιν b ποίην U φησί VR φὴ U 8 ὅπως ·ἔφην· προὔπεσεν[ο] b προὔπεσον R πρὸς ἔπεσεν U μανίης U 9 πλὴν *om.* R εἴ τις τε MVb: ἥτις R ἤτις U τε *om.* R ὅκως U ἀνθρώποισιν r ἐγγίν. U ἐγγίγν. b πέλει *pro* εἴη R 10 ἀπολω (-ο V) φέοιτο UVbR: ἀπόλοιτο M τε *om.* UR ταῦτα ἔφη U ὁρῆς U ὁρᾷς r τουτέου U τούτου r οὕνεκα[ει] b οὕνεκα U ἕνεκα r εἵνεκα r 11 μισέων U αἰτίη U 12 ἐπὶ πολὺ br ἐπὶ πάση *(sic)* U αὕτη VbR: αὐτὴ U αὐτῇ M ἐλάττων Vb ἐλάσσων UR: ἔλαττον M 13 δέ τι M: δ' ἔστι Vb (-ὶν b) δέ ἐστι U τισι R πλείων UVbR: πλεῖον M δὲ ἀμετρία αὐτῆς r αἱ δὲ ἀμετρίαι U νοῦσοι U ποτὲ — ποτὲ U φλαύρης b 14 δί' bR τε *pro* γε R βάζεις[λεγ] b 15 ἀπολ. τος. R ἡσυχίης U ἐπιτρέπεται b ἐρωμένου U ἐρομένου Vbr ἐρόμενος r 16 ὦ *om.* R ἀγροὶ ἢ οἰκίη ἢ τέκνα b ἡ ἀποικίη V ἀποικίη UR νοῦσοι U 17 εὐκαιρίην U ἡμῶν ἀποτέμνεται U ὑποτάμνεται V ὑποτάμνει[ε εται] b 18 *post* εἰωθὸς *add.* πάθος UbR ἀθρόον U καὶ *om.* UVbR ἀνακαγχάσαι ... ἐπετωθασαι M ἀνεκάγχασεν b ἐπετώθασεν b 19 καὶ ἐγὼ R ὦ Δημ. b ἔφην ὦ Δημ. UR γελῆις Vb τἀγαθὰ bR φλαῦρά[κακ] b: κακὰ MUVR 20 καὶ *om.* b ἄποθεν VR ἄποσθεν r ὁρεῦντες M: δ' ὁρέοντες b ὁρῶντες UVr οἱ μὲν ... ἔτιλλον *post* ἐχρήσατο V ὡυτέων b αὐτῶν UR 21 *post* τρίχας *add.* αὐτῶν R ἔφησαν MUV: ἔφασαν bR ἦθος[εἰωθὸς] b *post* εἰωθὸς *exhib.* κατηνέχθη καὶ μάλλ' ἀθροῦντι ἐχρήσατο τῷ γέλωτι R 22 δὲ Ubr ἀλλὰ μὴν b ἔφην ἀλλὰ μὴν R ποθέω ... αἰτίην U 23 πάθεος U ἐφάνην ἐὼν ἐγὼ γ. U τίνος ἄξ. ἐγὼ γέλ. ἐφάνην ἢ τ. λ. V τίνος ἐφ. ἐγὼ γέλ. ἄξ. b *post* γέλωτος *add.* αὐτὸς R λαληθέντα *pro* λεχθ. R

ὅκως μαθὼν παύσωμαι τῆς αἰτίης ἢ cὺ ἐλεγχθεὶς διακρούσηι τοὺς ἀκαίρους γέλωτας. ὁ δέ· Ἡράκλεις,
26 ἔφη, εἰ γὰρ δυνήσηι με ἐλέγξαι, θεραπείην θεραπεύσεις οἵην οὐδένα οὐδεπώποτε, Ἱππόκρατες. καὶ
πῶς οὐκ ἐλεγχθείης, ἔφην, ὦ ἄριστε; ἢ οὐκ οἴει ἄτοπός γε εἶναι γελῶν ἀνθρώπου θάνατον ἢ νοῦ-
σον ἢ παρακοπὴν ἢ μανίην ἢ μελαγχολίην ἢ cφαγὴν ἢ ἄλλο τι χεῖρον ἢ τοὔμπαλιν γάμους ἢ πανη-
γύρεις ἢ τεκνογονίην ἢ μυστήρια ἢ ἀρχὰς καὶ τιμὰς ἢ ἄλλο τι παντελῶς ἀγαθόν; καὶ γὰρ ἃ δέον
οἰκτείρειν γελῆις καὶ ἐφ' οἷς ἥδεσθαι χρή, καταγελᾶις τουτέων, ὥστε μήτε ἀγαθὸν μήτε κακὸν πα-
27 ρὰ σοὶ διακεκρίσθαι. ὁ δέ· ταῦτα μέν, ἔφη, εὖ λέγεις, ὦ Ἱππόκρατες, ἀλλ' οὐκ οἶσθά πω τοῦ ἡμετέρου
γέλωτος αἰτίην· μαθὼν δ' εὖ οἶδ', ὅτι κρέσσονα τῆς πρεσβείης ἀντιφορτισάμενος ἀποίσεις θεραπείην
τὸν ἐμὸν γέλωτα τῆι πατρίδι καὶ ἑωυτέωι καὶ τοὺς ἄλλους δυνήσηι σωφρονίζειν, ἀνθ' ὧν ἴσως
360 κἀμὲ διδάξεις ἰητρικὴν ἀμοιβηδόν, γνούς, ὅσηι σπουδῆι περὶ τὰ ἀσπούδαστα φιλοτιμούμενοι | πρήσσειν
28 τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι τὸν βίον ἀναλίσκουσι, γελώτων ἄξια διοικεῦντες. ἐγὼ δέ φημι·
λέγε, πρὸς θεῶν, μήποτε γὰρ διαλανθάνει ἅπας ὁ κόσμος νοσέων καὶ οὐκ ἔχει ὅκου διαπέμψηται
29 πρεσβείην πρὸς θεραπείην· τί γὰρ ἂν εἴη ἔξω αὐτέου; ὁ δ' ὑπολαβών· πολλαί γε, φησίν, ἀπειρίαι
κόσμων εἰσίν, Ἱππόκρατες, καὶ μηδαμῶς, ἑταῖρε, κατασμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ
ταῦτα μέν, ἔφην, Δημόκριτε, διδάξεις ἐν ἰδίωι καιρῶι, εὐλαβοῦμαι γάρ, μήπως καὶ τὴν ἀπειρίην
30 διεξιὼν γελῆν ἄρξηι· ἴσθι δὲ νῦν περὶ τοῦ σοῦ γέλωτος τῶι βίωι λόγον δώσων. ὁ δὲ μάλα τρανὸν
ἀπιδών μοι· δύο, φησί, τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φαῦλα· ἐγὼ δὲ ἕνα γελῶ τὸν
ἄνθρωπον, ἀνοίης μὲν γέμοντα, κενεὸν δὲ πρηγμάτων ὀρθῶν, πάσαις ἐπιβολαῖς νηπιάζοντα καὶ
μηδεμιῆς ἕνεκεν ὠφελείης ἀλγέοντα τοὺς ἀνηνύτους μόχθους, πείρατα γῆς καὶ ἀορίστους μυχοὺς
ἀμετρίηισιν ἐπιθυμίηις ὁδεύοντα, ἄργυρον τήκοντα καὶ χρυσὸν καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης,
31 αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον, ὅκως αὐτὸς ἐλάσσων γένηται· καὶ οὐδὲ αἰσχύνεται λεγόμενος
εὐδαίμων, ὅτι χάσματα γῆς ὀρύσσει δεσμίων χερσίν, ὧν οἱ μὲν ὑπὸ σομφῆς ἐπιπιπτούσης τῆς γῆς |
362 ἐφθάρησαν, οἱ δὲ πολυχρονιωτάτην ἔχοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῆι κολάσει παραμένουσιν,

1 *post* ὅκως *add.* ἢ bR ὅκως U παύσομαι Mbr αἰτίης U σὺ *om.* U εὐκαίρους U 2 θεραπηΐην [ει] b οἵην U οὐδένα πώποτε VbR, *in marg.* γρ. ἣν οὐδέποτε οὐδένα b ὦ ἱππ. R 3 ἐλεγχθήσηι UV ἐλεγχθήσηι [εί c] b οἶσθα *pro* οἴει R οἴη U θάν. ἀνθρ. R νοῦσον U 4 παρακοὴν U ἢ μελ. ἢ μαν. R χέρειον br χέριον V πανηγύριας Vbr 5 ἢ τιμὰς *pro* καὶ τ bR *correxi* παντελῶς: πᾶν ὅλως b ὅλως ἀγαθὸν MUV πᾶν ὅλως ὄνομα *pro* ἄλλο τι ὅλως R 6 γελῆις b γελᾶς [η] M γελᾶς UVR οἷσιν r καταγελῆς Vb: καταγελᾶς [η] M καταγελᾶς UR τούτων r τουτέων U μήτε ἀγαθ. *om.* U 7 εὖ ἔφη λέγεις UVb ἔφη *om.* R ὦ *om.* r ἢ γὰρ *pro* ἀλλ' R τὴν *ante* τοῦ *add.* U τοῦ *om.* R 8 *post* αἰτίην *add.* μέχρις ἣν μάθηις b δὲ br κρείσσονα Vbr κρίσσον *sic* U ἀποίσηι b ἀποίσῃ r 9 ἑαυτὸν R ἀληθῶς *pro* ἀνθ' ὧν U ἴσως δὲ κἀμὲ διδάξηις U 10 ἰητρικὴν U ὅσηι σπουδῆι b ὅσην σπουδὴν U οἵην σπουδὴν R φιλοτιμεύμενοι VbR πράσσουσι καὶ εἰς τὰ μηδενὸς ἄξια U 11 *post* βίον *add.* ἀχρήστως bR δέ φημι Mr: λέγε φημὶ Vb λέγε ἔφην U λέγω *pro* φημι λέγε r 12 μήκοτε b διαλανθάνει MbR: διαλανθάνη UV νοσέων ἅπας ὁ κόσμος U νοσέων ὁ πᾶς κόσμος b νοσ. πᾶς ὁ κ. R πᾶς V καὶ *om.* U οὐδὲ ἔχει UbR ὅκου U 13 θεραπηΐην [ει] b ἑωυτέου [ά] b ἑαυτέου V αὐτοῦ r αὐτέου U δὲ br 14 ὦ ἱππ. R ὦ ἑτ. Ub κατασμικρ. U ἐοῦσαν U 15 ὦ δημ. UbR εὐλαβέομαι br δὲ *pro* γὰρ R μήκως bR 16 γελᾶν bR ἴθι b τοίνυν *pro* δὲ νῦν R τρηχὺ *pro* τρανὸν R 17 ἀπιδὼν [ἐ] b τοὐμοῦ VbR φλαῦρα bR δὲ *om.* R γελῶ τὸν ἄνθρωπον bR: γέλωτα ἀνθρώπου MV γελῶ τὰ ἀνθρώπου U 18 μὲν UbR: μὲν *om.* MV κενεᾶ *(sic)* U κενὸν r πάσῃσιν ἐπιβουλῆισι b πάσαισιν ἐπιβολαῖσι r 19 ὠφελίης b χυμους M, *i. mg.* γρ. καὶ μυχοὺς ἀνύοντα *pro* ἀλγέοντα R ἀνηνύτους . μόχθους [c πόνους καὶ] b γῆς καὶ ἀκροτάτους μόχθους καὶ μυχοὺς U 20 ἀμέτροι ÷ ἐπιθυμίῃσιν b ἀμετρίαις ἐπιθυμίαις U ἀμετρίῃς ἐπιθυμίῃ R ἀργύριον b ἀργύριον τείνοντα U 21 αἰεὶ U ἀεὶ r θορυβεύμενον bR: θορυβευόμενον V (θορυβεύμενον [ο] M) ὅκως U αὐτὸς *om.* V ἐλασσων M ἐλάττων Vb *ante* γένηται *add.* μὴ b οὐδὲν R οὐδε *om.* U οὐδ' b 22 τῆς γῆς U ὑπὸ σομφῆς (σόμφης V) Vb: ἐπισομφῆς MUR ἐπιπεσούσης Vb πιπτούσης R 23 πολλῷ χρόνῳ R ἄγοντες *pro* ἔχ. R ἔχοντες τὴν *om.* V παραμένουσιν [κτ] b καταμέν. R

ἄργυρον καὶ χρυσὸν μαστεύοντες, ἴχνη κόνεως καὶ ψήγματα ἐρευνῶντες, ψάμμον ἄλλην ἀλλαχόθεν
ἀγείροντες καὶ τῆς γῆς φλέβας ἐκτέμνοντες, ἐς περιουσίην αἰεὶ βωλοποιεῦντες ἐκ γῆς μητρός. τὸ
δὲ μίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θαυμάζοντες πατοῦσιν· ὅσος γέλως· ἐπιμόχθου καὶ κρυφίης
γῆς ἐρῶσι τὴν φανερὴν ὑβρίζοντες. κύνας ὠνεῦνται, οἱ δ' ἵππους, οἱ δὲ χώρην πολλὴν περιορί- 32
ζοντες ἰδίην ἐπιγράφουσιν καὶ πολλῆς ἐθέλοντες δεσπόζειν οὐδὲ αὐτέων δύνανται. γαμεῖν σπεύδουσιν,
ἃς μετ' ὀλίγον ἐκβάλλουσιν· ἐρῶσιν, εἶτα μισοῦσι· μετ' ἐπιθυμίης γεννῶσιν, εἶτ' ἐκβάλλουσι τελείους·
τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος μηδὲν μανίης διαφέρουσα; πολεμοῦσιν ἔμφυλον, ἠρεμίην οὐχ 33
αἱρετίζοντες, ἀντενεδρεύουσι, βασιλέας ἀνδροφονοῦσι· γῆν ὀρύσσοντες ἀργύριον ζητοῦσι, ἀργύριον
εὑρόντες γῆν ἐθέλουσι πρίασθαι, ὠνησάμενοι γῆν καρποὺς πιπράσκουσι, καρποὺς ἀποδόμενοι πάλιν
ἀργύριον λαμβάνουσι· ἐν ὅσαις μεταβολαῖς εἰσιν, ἐν ὅσηι κακίηι. οὐσίην μὴ ἔχοντες οὐσίην ποθέουσι,
ἔχοντες κρύπτουσιν, ἀφανίζουσι. καταγελῶ ἐφ' οἷς κακοπραγέουσιν, ἐπιτείνω τὸν γέλωτα ἐφ' οἷς 34
δυστυχοῦσι· θεσμοὺς γὰρ ἀλη|θείης παραβεβήκασι. φιλονεικέοντες ἔχθρην πρὸς ἀλλήλους, δῆριν 364
ἔχουσι μετὰ ἀδελφῶν καὶ τοκήων καὶ πολιτῶν καὶ ταῦτα ὑπὲρ τοιουτέων κτημάτων, ὧν οὐδεὶς
θανὼν δεσπότης ἐστίν. ἀλληλοκτονέουσι, ἀθεσμόβια φρονεῦντες φίλων καὶ πατρίδων ἀπορίην ὑπερ-
ορῶσι. πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα, ὅλης τῆς οὐσίης ἀνδριάντας ὠνέονται, ὅτι δοκέει λαλεῖν
τὸ ἄγαλμα· τοὺς δὲ ἀληθέως λαλέοντας μισεῦσι· τῶν γὰρ μὴ ῥηϊδίων ἐφίενται. καὶ γὰρ ἤπειρον 35
οἰκεῦντες θάλασσαν ποθέουσι· καὶ πάλιν ἐν νήσοις ἐόντες ἠπείρων γλίχονται· καὶ πάντα διαστρέ-
φουσιν ἐς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμωι ἀνδρείην ἐπαινεῖσθαι, νικῶνται δὲ καθ'
ἡμέρην ὑπὸ τῆς ἀσελγείης, ὑπὸ φιλαργυρίης, ὑπὸ τῶν παθέων πάντων, ἃ νοσέουσι. Θερσῖται δ' εἰσὶ
τοῦ βίου πάντες. τί δὲ τὸν ἐμόν, Ἱππόκρατες, ἐμέμψω γέλωτα; οὐ γὰρ αὐτοὶ τῆς ἰδίης ἀνοίης, ἀλλὰ 36
ἄλλος ἄλλου καταγελῆτε, οἱ μὲν τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέωσι νήφειν, οἱ δὲ τῶν ἐρώντων,
χαλεπωτέρην νόσον νοσεῦντες αὐτοί, οἱ δὲ τῶν πλεόντων, ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχολη-
θέντων· οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχναις οὔτε τοῖς ἔργοις. ἐγὼ δέ· ταῦτα μέν, ἔφην, κρήγυα, 37

1 ἄργυρον καὶ χρυσὸν VR: ἀργύσιον καὶ χρυσίον Ub ἀργύριον M μαστεύοντες *om.* MU κόνιος bR ψήμματα (γ *supra*) M ῥήγματα V ἀλλαχόθι U 2 ἀγείροντες (ε *supra*) M ἐγείροντες U τὰς γῆς φλ. b τῆς *om.* R ἐκτέμνοντες (α *supra*) b ἀεὶ R βωλοποιεῦντες Vbr: βωλοποιοῦντες Ur βωλοποιέοντες M ἐκ ·γῆς· τῆς (σ *supra*) μητρὸς *(fuit* ἐκ γῆς μητ., τῆς *intrusit ead. m.)* b *scripsi* τὸ δὲ μίην: ποδεμίην MV (τὴν δὲ μ. r) ποδε *om.* U πολεμίην br 3 ἐοῦσαν U θαυμάζουσι bR ὅςὸς b κρυφίης U *ante* πατ. *add.* καὶ bR πατέουσιν b 4 ἐρῶσιν b τὴν δὲ φαν. U καὶ τὴν φαν. ὑβρίζουσι R ὠνέονται r μάλα (πάνυ *supra*) πολλὴν b 5 πολλῶν bR οὐδ' ὠυτέων b αὐτέων U αὐτῶν *vel* αὑτῶν R 6 ἐκβεβλήκασιν UR μισέουσι b ἐπιθυμίης U τεκνοῦσιν *pro* γενν. R εἶτα r ἐκβάλλουσιν b τελείως R 7 γρ. τίς ἡ κενοσπουδίη καὶ ὁ λογισμὸς *in marg.* b ἔμφυλα R 8 αἱρετίζουσιν (ντες *supra*) b αἱρετίζουσιν UR βασιλῆας br βασιλεῖς U ἀνδροφονέουσι r ὀρύττοντες br ὀρύσσουσιν U ζητοῦσι M: ζητοῦσιν UVbR ἄργυρον *(bis)* R 9 θέλουσι r πιπρήσκουσι Vb ἀποδιδόμενοι r ἀποδεχόμενοι U 10 λαμβάνουσι M: -σιν UVb μεταλαμβάνουσιν R ὅσηισι (ὅσαισι V) μεταβολῆισιν Vb μεταβολαῖσιν r ἐν *ante* ὅσηι *om.* br ἐν ὅσοι *(sic)* U κακίηι μὴ (οὐσίην *supra*) ἔχοντες b (μὴ *in ras.*) ποθέουσι M ποθέουσιν UVbR *post* κακίηι *add.* πολιτείας r πολιτείης *pro* οὐσίην r 11 μὴ ἔχοντες οὐσίην r ἀφανίζουσι MUVb ἀφανίζουσιν R *ante* ἀφανίζ. *add.* ἢ b καταγελῶ *om.* r γελῶ r οἷσι r κακοπραγέουσιν U κακοπρηγεῦσιν Vb 12 δυστυχέουσι Vb δηρὴν V δηρὸν b 13 μετὰ δὲ ἀδελφ. MV μετ' R ἀδελφειῶν b ἀδελφεῶν R τοκήων U τοκέων R πολιητῶν b πολιτέων R τοιούτων R οὐδὲ εἷς VR 14 ἀλληλοκτονέουσιν (-οῦσιν U) UVbR φρονεῦντες, *sed fuit primo* φονευντες (ο *in* ρ *mutat. et* ο *intrusum*) M φρονέοντες b, ἄθεσμα, βία φονεύοντες R πατέρων (τριδων *supra*) b ὑπερορέουσι b 15 ἀνδριάντα U δοκεῖ R 16 ἀληθῶς V λέγοντας *pro* λαλέοντας UR μισεῦσιν b μισέουσι r γὰρ *om.* R ῥηιδίων U ἰδίων *pro* ῥηιδ. r 17 οἰκέοντες R *ante* θάλασσαν *add.* κάρτα b θάλατταν br ποθέουσιν b νήσοισιν br ἐόντες U ἤπειρον M 18 εἰς br δοκέουσι MVR: δοκεῦσι b ἀνδρίην R ἐπαινέεσθαι (σ *supra*) b ἐπαινέσαι R 19 ἁπάντων R ἃ *ante* νοσέουσι *om.* MV νοσεύει V ἂν νοσοῦσι U *in mg.* ὅτι (*ante* θερσῖται) b Θερσεῖται M δὲ Ur ·δ' b 20 αὐτός, *in marg.* γρ. καὶ αὐτοὶ M *quod exhibent* UVbR ἀλλ' b 21 καταγελῆται (ε *supra*) b καταγελῆ V καταγελᾶ R δοκέουσι M δοκέωσι VbR 22 χαλεποτέρων νόσων νοσοῦντες *(sic)* U *post* χαλ. *add.* ἑτέρην b νοῦσον b: νόσον MV νόσον *om.* R νοσέοντες bR 23 συμφωνεῦσι Vb ἔργοισιν b τέχναισιν οὔτε τοῖσιν ἔργοισιν R

Δημόκριτε, οὐδ' ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλων ταλαιπωρίην θνητῶν. ἀλλ' αἱ
πρήξιες νομοθετοῦςι τὴν ἀναγκαίην οἰκονομίης τε εἵνεκα καὶ ναυπηγίης καὶ τῆς ἑτέρης πολιτείης,
366 ἐν ἧι χρεὼν εἶναι τὸν ἄνθρωπον. | οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ τουτέων δὲ πάλιν
φιλοδοξίη χυθεῖςα ἔςφηλε πολλῶν ὀρθογνώμονα ψυχήν, σπουδαζόντων μὲν ἅπαντα ὡς ἐπὶ ἀδιαπτωςίηι,
38 μὴ κατευτονούντων δὲ τὴν ἀδηλότητα προορῆςθαι. ἦπου γάρ τίς, ὦ Δημόκριτε, γαμέων ἢ χω-
ριςμὸν ἢ θάνατον προςεδόκηςε; τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν; ἀλλ' οὐδ' ἐν γεωργίηι καὶ
πλοίωι καὶ βαςιλείηι καὶ ἡγεμονίηι καὶ πάνθ' ὅςα ὑπάρχει κατὰ τὸν αἰῶνα. οὐδεὶς γὰρ προὔλαβεν
πταῖςαι, ἀλλ' ἀγαθῆιςιν ἕκαςτος τουτέων ἐλπίςι φέρβεται, τῶν δὲ χερειόνων οὐδὲ μέμνηται. μήποτ'
39 οὖν ὁ ςὸς γέλως τουτέοις ἀνάρμοςτος; ὁ δὲ Δημόκριτος· μάλα, ἔφη, νωθὴς τὸν νόον ὑπάρχεις καὶ
μακράν γε τῆς ἐμῆς γνώμης ἀπόδημος, Ἱππόκρατες, ἀταραξίης καὶ ταραχῆς μέτρα μὴ ἐπιςκοπέων
δι' ἄγνοιαν. ταῦτα γὰρ αὐτὰ διανοίηι φρενήρει διοικέοντες αὐτοί τε ῥηϊδίως ἀπήλλαςςον καὶ τὸν
ἐμὸν ἐλώφεον γέλωτα· νῦν δ' ὡς ἐπαρηρόςι τοῖς ἐν τῶι βίωι φρενοβλαβέες τετύφωνται ἀςυλλο-
40 γίςτωι διανοίηι τῆς ἀτάκτου φορῆς δυςδίδακτοι. νουθεςίη γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν ξυμπάντων
μεταβολὴ ὀξείηιςι τροπῆιςι ἐμπίπτουςα, αἰφνίδιον τροχηλαςίην παντοίην ἐννοέουςα. οἱ δ' ὡς ἐπαρ-
ηρυίηι καὶ βεβαίηι ἐκλεληςμένοι παθέων κατὰ τὸ ξυνεχὲς ἐμπιπτόντων ἄλλοτε ἄλλως ποθεῦντες
41 τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα ἐναλινδεῦνται πολλῆιςι ξυμφορῆιςιν. εἰ δ' ἐμερμήριζεν
368 κατὰ δύναμιν ἰδίην τὰ | ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε ζωὴν ἑωυτὸν ἐξεπιςτάμενος καὶ
ξύγκριςιν ἰδίην ςαφῶς κατανοήςας καὶ μὴ τῆς ἐπιθυμίης τὴν ςπουδὴν ἀόριςτον ἐκτείνων, τὴν δὲ
42 πλουςίην φύςιν καὶ πάντων τιθηνὸν δι' αὐταρκείης ὁρέων. καθάπερ δὲ τῶν παθέων εὐεξίη κίνδυνος
πρόδηλος, οὕτως τὸ μέγεθος τῶν εὐτυχημάτων ςφαλερόν ἐςτι, ἀρίςημοι δ' ἐν τῆιςι κακοδαιμονίηιςι
ξυνθεωρεῦνται. ἄλλοι δὲ τὰ τῶν πέλας ὡς μὴ ἱςτορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο,
τὰ δῆλα καθάπερ ἄδηλα μὴ θεωρεῦντες, ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες γενομένων καὶ γινο-
43 μένων, ἐξ ὧν καὶ τὸ ἐςόμενον ἐχρῆν κατανοῆςαι. ταῦθ' ὁ ἐμὸς γέλως· ἄφρονες ἄνθρωποι, πονηρίης
δίκας ἐκτίνοντες, φιλαργυρίης, ἀπληςτίης, ἔχθρης, ἐνέδρης, ἐπιβουλίης, βαςκανίης, (ἀργαλέον ἐξειπεῖν
πολυμηχανίην κακῶν· ἀπειρίη γάρ τίς ἐςτι κἀν τούτοις), δολοπλοκίηιςι ἀνθομιλεῦντες, ςκολιόφρονες,

1 οὐδὲ R ἀλλ' αἱ πρ. Vb ἀλλα πρηξιες M πράξεις UR 2 νομοθετέουςι bR εἶναι ἀναγκαίας U οἰκοδομῆς (ν ι suprascr.) b οἰκοδομίας U εἵνεκα U ἕνεκεν R ἄλλης *pro* ἑτέρης r πολιτηῖης (ει suprascr.) b 3 ὥνθρωπον (α suprascr.) b ἐγέννα (ηςεν suprascr.) b τούτων R 4 φιλοδοξίηι b ἀδιαπτωςίηι b: ἀδιαπτωςίην R ἀδιάπτωςιν U ἐπὶ διάπτωςιν M *(s. acc.)* V 5 μὴ UVbR: ἠμὴ M μηκέτ' εὐτονεόντων R κατευτονεόντων b προορίςαςθαι R ἢ *ante* χωρ. *om.* b 6 προςεδόκηςεν b παιδοτροφέων U γεωργίη U οὐδὲ ἐν r 7 πάθω *pro* πλοίωι V πλοίω U πλόωι bR *post* πλ. *add.* καὶ ναυτιλίη R βαςιληῖη (ει suprascr.) b ὅς' R οὐδὲ εἰς UVR προὔλαβεν M: προὔλαβε UV προςέλαβε r προϋπέλαβε b 8 τούτων R τῶν δέ γε R χερειόνων U οὐ *pro* οὐδὲ R 9 τουτέοιςιν b τούτοις R ἀνάρμ. ἢ U νωθὴς ἔφη UR νόον U καὶ *om.* r μακρήν γε b 10 *post* ἀπόδ. *add.* εἶ b ἀποδ. ἰὼν *(sic)* U ἀρετῆς *pro* ταραχῆς r μὴ *om.* R ἐπιςκοπέων (βλέπ suprascr.) b 11 ἀγνοίην bR αὐτὰ *om.* U φρενήρηι *sic* M διοικεῦντες Vb αὐτοὶ δὲ U ῥηϊδίως U ῥαδίως R ἂν *ante* ἀπήλλαςςον *add.* U ἀπηλλάςςοντο b ἀπηλλάτοντο R 12 ἐπ' ἀρηρόςιν b τοῖςιν b τούτοιςιν R φρενοβλαβέες U τετύφωνται VbR: τετύφλωνται MU 13 ξυμπ. U ςυμβάντων R 14 ὀξείηιςιν b τροπῆιςιν Vb τροπῆιςι M ἐννοεῦςα Vb ἑλίςςουςα UR ἐπαρηρυίη U 15 ἐκλεληςμένη *(sic)* U ξυνεχ. U ξ(ς bR)υμπιπτόντων Vbr ἄλλοτ' b ποθέοντες R 16 ξυμφ. U ἐναλινδέονται bR, *in margine habet ad* ἐναλινδέονται *adscriptum* ἐγκυλίονται· ἐν ἀλινδήθρα γὰρ ἡ τῶν ἀλόγων κυλίςτρα b ξυμφοραῖς U εἰ δέ τις *ante* ἐμερμ. b ἐμερμήριζον U 17 ἑαυτὸν R ἑαυτοῖς ἐξεπιςτάμενοι U 18 ςύγκριςιν br ςαφέως b κατανοήςαντες U ἐκτείνοντες U 19 τιθηνὴν R ὁδοιπορέων bR ὁδοιποροῦντες U ὁρέων MV ἐν εὐεξίη R 20 οὕτω bR ἐπιςφαλέςτερον R ἐςτι M ἐςτιν UVbR δὲ Ubr ἐπὶ *pro* ἐν UVbR 21 ξυνθεωρεῦνται (ςυν.. b) MVb ςυνθεωροῦται (οῦ suprascr.) U ξυνθεωρέονται R δι' ἱςτοροῦντες *pro* μὴ ἱςτ. U θεωρεῦντες *pro* ἱςτορ. Vb *ad* ·πέλας μὴ θεωρεῦντες· *i. mg.* γρ. παλαιῶν μὴ ἱςτορέοντες b παλαιῶν *pro* πέλας ὡς R ὡς *om.* UVb μηδὲν *pro* μὴ R 22 τὰ δὲ δῆλα R τὰ δῆλα μὴ θεωρ. καθ. ἄδηλα U θεωρέοντες R ἔχοντες *om.* U γενομένων καὶ μὴ γενομένων bR καὶ γινομ. *om.* U 23 καὶ *om.* U ταῦθ' *om.* U ταῦτα r 24 ἐκτείνοντες MUV ἐνεδρείης R ἐπιβουλῆς UbR 25 ἐςτίν b τούτοις V: τουτέοις M τούτέοιςι b (ε *postea additum*) τούτοιςι r δολοπλοκίηιςιν Vb ἀνθομιλεῦντες V: ἀνθ' ὁμιλλεῦντες M ἀνθομιλοῦντες U ἀνθαμιλλέονται bR

ἀρετῆς δὲ παρ' αὐτέοις τρόπος ἐστὶ τὸ χέρειον. φιλοψευδίην γὰρ ἀσκεῦσι, φιληδονίην κοσμέουσι,
νόμοις ἀπειθεῦντες· ὁ δὲ αὐτέων κατακρίνει τὴν ἀπροαιρεσίην μήτε ὁρήσεως μήτε ἀκοῆς μετέχοντας.
μούνη δ' αἴσθησις ἀνθρώπου ἀτρεκείῃ διανοίης τηλαυγής, τό τ' ἐὸν καὶ τὸ ἐσόμενον προορεομένη.
δυσαρεστεῦνται πᾶσι καὶ πάλιν τοῖς αὐτέοις ἐμπελάζονται· ἀρνησάμενοι πλόον πλέουσι, γεωργίην 44
ἀπωσάμενοι αὖθις γεωργοῦσιν· ἐκβάλλοντες γαμετὴν ἑτέρην εἰσάγονται, γεννήσαντες ἔθαψαν,
θάψαντες ἐγέννησαν, | πάλιν τρέφουσι· γῆρας ηὔξαντο, ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσι. ἐν 370
οὐδεμιῇ καταστάσει βεβαίην ἔχουσι τὴν γνώμην· ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην, ὁ
δὲ ἰδιώτης ὀρέγεται βασιλείης, ὁ προπολιτευόμενος τὸν χειροτεχνεῦντα ὡς ἀκίνδυνον, ὁ δὲ χειρο-
τέχνης ἐκεῖνον ὡς εὐτονεῦντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θεωροῦσιν 45
καθαρὴν καὶ λείην καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν· φέρονται δὲ ἐπὶ τὴν
ἀπειθῆ καὶ σκολιὴν τρηχυβατέοντες, καταφερόμενοι καὶ προσκόπτοντες, οἱ δὲ πλεῖστοι ἐκπίπτοντες,
ἀσθμαίνοντες ὡς διωκόμενοι, ἐρίζοντες, ὑστερέοντες, προηγεύμενοι. καὶ οὓς μὲν αὐτέων ἔρωτες
ἀτάσθαλοι ὑποπεπρήκασιν ἀλλοτρίης εὐνῆς, φθορῇ, ἀναιδείῃ πισύνους, οὓς δὲ τήκει φιλαργυρίης
νοῦσος ἀόριστος. οἱ δ' ἀλλήλοις ἀντεπιτίθενται, οἱ δ' ὑπὸ φιλοδοξίης εἰς ἠέρα ἀνενεχθέντες βρίθει 46
κακίης ἐς βυθὸν ἀπωλείης καταφέρονται. κατασκάπτουσι, εἶτ' οἰκοδομοῦσι· χαρίζονται, εἶτα μετανοοῦ-
σιν ἢ ἀφαιρεῦνται τὰ φιλίης δίκαια, κακοπρηγεῦντες εἰς ἔχθρην τὰ ξυγγενείης πολεμοποιεῦντες,
καὶ τουτέων πάντων αἰτίη φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι, παρ' οἷς ἄκριτος μὲν ἡ 47
γνώμη, τὸ δὲ προσπεσὸν τερπνόν; ἐν δὲ τοῖς θυμοῖς τί περισσὸν ζώιοις ἀλόγοις παραλελοίπασι;
πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λέων ἐς γῆν κατέκρυψε | χρυσόν; τίς ταῦρος 372
πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψῇ μὲν ἄγριος σῦς, ὅσον ὕδατος ὠρέχθη,
λύκος δὲ δαρδάψας τὸ προσπεσὸν τῆς ἀναγκαίας τροφῆς ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπτο-
μένῃσι οὐκ ἔχει θοίνης κόρον ὤνθρωπος· καὶ χρόνων μὲν ἐνιαυσίων τάξις ὀχείης ἀλόγων τέρμα
ἐστί· ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης. Ἱππόκρατες, μὴ γελάσω τὸν κλαίοντα δι' 48

1 αὐτοῖσι b αὐτοῖς r ἐστὶν b χέρειον U χέριον V ἔχουσι *pro* ἀσκέουσι R ἀσκεῦσι V: ἀσκέουσι Mb *ad* ·γὰρ ἀσκέουσι· *i. mg.* γρ. παρασκευάζουσιν b κοσμέουσι M: κοσμοῦσι b κόσμου VR 2 νόμοισιν r ἀπιθέοντες b ἀπειθέοντες r αὐτῶν r [ω]αὐτέων b ὠυτέων V ἀπροορισίην b ὁρήσιος br μητ' ἀκ. b 3 γὰρ *pro* δ' U ἀτρεκείη U ἀτρεκίῃ bR διανοίῃ MV διανοία U διανοίης br διανοίας R τηλαυγοῦς R τότε ὂν MUVR τότε ἐὸν br προορεωμένη M προορεομένη Vb προορωμένη R 4 δυσαριστοῦνται U καὶ τοῖς αὐτοῖς πάλιν πελάζονται U τοῖσιν αὐτοῖσιν R πλόον U 5 ἀπειπάμενοι *pro* ἀπωσ. b γεωργεῦσιν b ·γεννήσαντες ἔθαψαν· b γενν. ἔθ. *om.* R 6 *post* θάψαντες *add.* ἃ br ἐγέννησαν ÷ ÷ πάλιν b εὔξαντο R [ηυξα o]εὔχονται b *ante* ἐς *add.* εἶτα R ἐς U εἰς br δ' *om.* br στενάζουσιν UVbR 7 βεβαίαν R ὁ δὲ *om.* V 8 βασιλή[ει]ης b βασιλείας r προπολιτευόμενος MV: πολιτευόμενος UbR χειροτεχνέοντα r [απο υ]ἀκίνδυνον b δὲ *om.* R 9 εὐτονέοντα br *pro* ἀρετῆς *praebent* ἠρεμίης Vb ἐρημίης R θεωρεῦσι V θεωρέουσι br 10 οὐδὲ εἷς b ἐμβῆναι b ἐμμένειν R δ' r 11 *pro* ἀπειθῆ *exhib.* ἐναντίην R *pro* ἀπειθῆ *praebet* μὴ ἀληθῆ U τρηχυβατεύοντες V τρηχυβατεῦντες br οἱ δὲ πλεῖστοι ἐκπ. *om.* r ἀποπίπτοντες b 12 καὶ *ante* ἀσθμ. *add.* b ἐ[ο]ρίζοντες b ὁρίζοντες R ὑστερεῦντες r προηγεόμενοι b προηγούμενοι r οἷς R ὠυτέων V 13 ἀτασθάλους R ὑποπεπτήχασιν R φθορὴ ἀναιδίη *(sic)* V φθορὰ ἀναιδείη *(sic)* U φθορῇ ἀναιδείης πισ. M φῶρας εὐνῆς bR ἀναιδείῃ bR φιλαργυρίαν *sic* U φιλαργυρίη R 14 δὲ r ἀλλήλοισιν br δὲ br ἀναχθέντες R 15 ἐς U *ante* κακίης *add.* ὑπὸ b εἰς bR κατασκάπτουσιν UVbR ἐποικοδομοῦσι MV: εἶτ' (εἶτα U) οἰκοδομέουσι (-οῦσι U) *pro* ἐποικοδομέουσι Ub ἐποικοδομέοντες R μετανοοῦσι b 16 ἢ *om.* U καὶ *pro* ἢ bR ἀφαιρέονται br κακοπραγέοντες r ἐς V πολεμοποιοῦντες V ·κακοποιεῦντες·, *i. marg.* γρ. πόλεμον ἐμποιέοντες b πολεμοῦσι *pro* πολεμοποι. R 17 τούτων ἁπάντων b τούτων r πάντων *om.* R αἴτιον R ἡ φιλαργ. R αθυρώντων M ἀθυρώντων V ἀθυρεόντων bR ἀθυρόντων U οἷσιν br 18 μύθοις *pro* θυμοῖς V τοῖσι θυμοῖσι b ζώιοισιν ἀλόγοισιν b 19 αὐταρκίῃ b λεόντων R εἰς r χρυσίον b 20 τὴν πλεον. b πλεονεξίας ἐκορέσσατο U ἐκορυσ(σ)ατο r πόρδαλις b κεχώρηκεν b εἰς ἀπληστ. δὲ κεχώρ. U διψᾶ r διψὰ U [ων]διψῇ b ὗς U ὁπόσον U ὀρεχθῇ U κορεσθῇ *pro* ὠρ. R 21 ἀναγκαίης br δὲ *om.* b συναπτ. bR 22 θοίνης *om.* R ὁ ἄνθρωπος UVbR καὶ *om.* R τάξεις U *pro* ἀλόγων *exhibet* ἀγρίων U 23 ἐστίν UVb ἐστὶ τέρμα R τὸ *om.* V ὑστρομανίην M γελήσω b

ἔρωτα, ὅτι ξυμφερόντως ἀποκέκλεισται; μάλιστα δ' ἢν ῥιψοκίνδυνος ἦι καὶ φέρηται κατὰ κρημνῶν
ἢ βυθῶν πελάγους, ἐπιτείνω τὸν γέλωτα. μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα,
εἶτα μεμφόμενον τῆι θαλάττηι, ὅτι κατεβύθισεν αὐτὴν πλήρη; ἐγὼ μὲν οὐδαμῶς δοκέω γελῆν·
49 ἐξευρεῖν δὲ κατ' αὐτέων ἤθελόν τι λυπηρόν. ἀλλ' οὐδὲ ἰητρικὴν ὑπὲρ τουτέων ἐχρῆν εἶναι μητιωμέ-
νην πέπονα φάρμακα. ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσίη σοι γενέσθω· σώιζων ἀνθρώπους κεραυ-
νοῖς ηὐχαρίστηται. οὐχ' ὁρῆις, ὅτι κἀγὼ τῆς κακίης μοῖρά εἰμι; μανίης διζήμενος αἰτίην ζῶια
κατατείνω καὶ ἀνατάμνω, ἐχρῆν δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. οὐχ' ὁρῆις, ὅτι καὶ ὁ κόσμος
50 μισανθρωπίης πεπλήρωται; ἄπειρα κατ' αὐτέων πάθεα ξυνήθροικε. ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσός
ἐστι, τρεφόμενος ἄχρηστος, ἱκέτης βοηθείης· αὐξανόμενος ἀτάσθαλος, ἄφρων, διὰ χειρὸς παιδαγωγίης·
374 θρασὺς ἀκμάζων, | παρακμάζων οἰκτρός, τοὺς ἰδίους πόνους ἀλογιστίηι γεωργήσας· ἐκ μητρώιων
51 γὰρ λύθρων ἐξέθορε τοιοῦτος. διὰ τοῦτο οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες, οἱ δ' ἐν
ξυμφορῆισι καὶ μάχηισι, οἱ δ' ἐν φθορῆισι καὶ μοιχείηισι διὰ παντός, οἱ δ' ἐν μέθηισι, οἱ δ' ἐν
ἐπιθυμίηισι τῶν ἀλλοτρίων, οἱ δὲ ἐν ἀπωλείηισι τῶν σφετέρων. ὄφελον δύναμις ὑπῆρχεν τὰς ἁπάν-
των οἰκήσεις ἀνακαλύψαντα μηθ' ἓν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα, εἶθ' οὕτως ὁρῆν τὰ πρησσό-
52 μενα ἔνδον. εἴδομεν ἂν οὓς μὲν ἐσθίοντας, οὓς δὲ ἐμέοντας, ἑτέρους δὲ αἰκίηισι στρεβλέοντας, τοὺς
δὲ φάρμακα κυκέοντας, τοὺς δὲ ξυννέοντας ἐπιβουλίην, τοὺς δὲ ψηφίζοντας, ἄλλους χαίροντας, τοὺς
δὲ κλαίοντας, τοὺς δὲ ἐπὶ κατηγορίην φίλων ξυγγράφοντας, τοὺς δὲ διὰ φιλοδοξίην ἔκφρονας. καί
53 γέ τινες βαθύτεραι πρήξιες τῶν κατὰ ψυχὴν κευθομένων. καὶ τουτέων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ
πρεσβῦται, αἰτεῦντες, ἀρνεόμενοι, πενόμενοι, περιουσιάζοντες, λιμῶι θλιβόμενοι, οἱ δὲ ἀσωτίηι
βεβαρημένοι, ῥυπῶντες, δέσμιοι, οἱ δὲ τρυφῆισι γαυριῶντες, τρέφοντες, ἄλλοι σφάττοντες, ἄλλοι
376 θάπτοντες, ὑπερορέοντες ἃ ἔχουσι, πρὸς τὰς ὑπερορίους κτήσιας ὡρμη|μένοι, οἱ μὲν ἀναίσχυντοι, οἱ
δὲ φειδωλοί, οἱ δὲ ἄπληστοι, οἱ μὲν φονεῦντες, οἱ δὲ τυπτόμενοι, οἱ δὲ ὑπερηφανεῦντες, οἱ δὲ
ἐπτερωμένοι κενοδοξίηι. καὶ οἱ μὲν ἵπποισι παρεστῶτες, οἱ δὲ ἀνδράσι, οἱ δὲ κυσίν, οἱ δὲ λίθοις ἢ
ξύλοις, οἱ δὲ χαλκῶι, οἱ δὲ γραφῆισι. καὶ οἱ μὲν ἐν πρεσβείαις, οἱ δ' ἐν στρατηγίαις, οἱ δὲ ἱερω-

1 συμφερ. r ἂν *pro* ἢν bR ἢν *pro* ἦι U ῥιψοκινδυνῆ R 2 ἢ *ante* πελ. *add.* V βυθ. ἢ κρημνῶν R ἐπιτενῶ V γελήσω b νῆα U 3 εἶτα καὶ μεταμεμφόμενον R μεμψάμενον b θαλάσσῃ b κατεβύθησεν MU τὴν *pro* αὐτὴν bR πλήρεα b οὐδαμῶς MUV οὖν οὐδ' ἀξίως b οὐκ ἀξίως R γελᾶν r 4 αὐτῶν r οὐδ' V τούτων br *scripsi* μητιωμένην πέπονα μήτε ἰωμένην MU μητ' ἰωμ. V μὴ τεχνωμένην bR 5 παίπονα MV παιώνια R παιήονα b πλείονα U καὶ ὁ σὸς U νουθεσίης M νουθεσίη U νουθεσία r γινέσθω R *ante* σώζων *add.* ὁ ἃ *(sic)* U κεραυνοῖσιν br 6 εὐχαριστεῖται bR ὁρᾶς r *post* ὁρᾶς *add.* δὲ U ὅτι τῆς κακίῆς κἀγὼ μοίρης b ὅτι κἀγὼ τῆς αὐτῆς μοίρης R κἀγὼ τῆς κακίης, *sed emend. ex* μανίης V καὶ ζῶα R 7 κατατείνω MV: κατατίνω U κατακτείνω bR ἀνατέμνω br δ' b ὁρᾶς r ὁρᾶς δὲ U 8 καὶ *ante* ἄπειρα *add.* UbR καταυτέων b αὐτοῦ r ξυνήθροικεν V συνήθροικεν b συνήθροισεν R ξυνοίθροικεν U ὅλος ὁ ἄνθρ. br νόσος b 9 ἐστί UVbR
κακο
βοηθείας b βοηθείας r αὐξόμενος Ur *pro* διὰ χειρὸς *exhibet* ἐνδεὴς U παιδαγωγίης U 10 ·οἰκτρός τέ b χρόνους *pro* πόνους R γεωργῆσαι b 11 καὶ διὰ b καὶ οἱ R δὲ *sine* ἐν M οἱ δ' ἐν ξυμφ. κ. μ. *om.* bR 12 οἱ δ' ἐν — μοιχ. *om.* MV οἱ δὲ ἐν φθορῆισιν b οἱ δ' ἐν φθοραῖς καὶ μοιχείαις διαπαντός· οἱ δ' ἐν μάχαις καὶ ξυμφοραῖς U οἱ δ' ἐν μέθ. *om.* R δὲ ἐν μ. b μέθῃσιν Vb 13 δ' ἐν ἀπ. b απολίησι V ἀπωλείη R ὤφελε R 14 οἰκεσίας *sic* V οἰκήσιας br ἀνακαλύψαντας U ἀνακαλύψαντές b μὴδὲν U μηδὲν bR: μηθὲν (μὴθὲν M) MV εἰ δ' οὕτως U, *in margine* γρ. εἰθ' οὕτως U ὁρᾶν r ὁρῆν — οὓς δὲ (15) *om.* V ἴδομεν b τοὺς *(bis)* R 15 στρεβλέοντας MVbR στρεβλοῦντας r τοὺς δὲ φάρμ. κυκ. *om.* MV 16 κυτοῦντας *sic* U ξυνεόντας V συννοοῦντας U ξυννοεῦντας (συνν. r) br ἐπιβουλὴν Ubr τοὺς δὲ κλαίοντας *om.* MV 17 οὓς *bis* br ἐπὶ *om.* U *ante* φίλων *add.* ἑῶν R ξυγγραφέοντας *sic* b οὓς bR
αι
18 καὶ τά γε ἔτι βαθύτερα πρήξιες b καί τοι γε *pro* καί γέ τινες UR τούτων r 19 αἰτοῦντες r ἀρνούμενοι
υ ... αρ
R ἀρνεόμενοι b ἀρνεύμενοι r πενόμενοι *om.* M δ' b 20 βεβολημένοι b ῥυπόοντες R ἄλλοι σφάττ. *om.* bR ἄλλοι δὲ θάπτ. R 21 *post* θάπτοντες *add.* ἄλλοι κλαίοντες U *pro* ὑπερορίους *praeb.* ἐλπιζομένας UbR πρήξιας *pro* κτήσιας R ὁρμώμενοι R 22 φονεύοντες Ub οἱ δὲ μὴ φρονέοντες R ὑπερηφανεύοντες V
παι ό ... ι
ὑπερηφανέοντες br ὑπερηφανοῦνται U 23 ἐπαιρόμενοι *pro* ἐπτερ. UR ἐπτερωμένοι b ἵπποις b παρεστεῶτες b ἀνδράσιν UVbr 24 ξύλοις ἢ λ. U λίθοισιν ἢ ξύλοισιν br οἱ ... γραφ. *om.* bR ἐν *om.* bR πρεσβείῃσιν r δὲ στρ. bR δὲ ἐν στρ. U στρατηγίῃσιν r οἱ δὲ ἐν ἱερωσύναις U ἐν *ante* ἱερ. *add.* R ἱερωσύναις b

cύνηιcι, οἱ δὲ cτεφανηφορίαιc· οἱ δὲ ἔνοπλοι, οἱ δὲ ἀποκτεινόμενοι. φέρονται δὲ τουτέων ἕκαcτοι 54
οἱ μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ ἐπὶ cτρατείην, οἱ δὲ ἐπ' ἀγροικίην, ἕτεροι δὲ ἐπὶ φορτίδαc ναῦc, οἱ
δὲ εἰc ἀγορήν, ἕτεροι δ' ἐπ' ἐκκληcίην, οἱ δ' ἐπὶ θέητρον, οἱ δὲ ἐc φυγήν, ἄλλοι δὲ ἀλλαχόcε. καὶ
οἱ μὲν ἐc φιληδονίην καὶ ἡδυπαθείην καὶ ἀκραcίην, οἱ δὲ ἐc ἀργίην καὶ ῥαιθυμίην. τὰc ἀναξίουc 55
οὖν καὶ δυcτήνουc cπουδὰc ὀρεῦντεc καὶ τοcαύταc, πῶc μὴ χλευάcωμεν τὸν τοιῆcδε ἀκραcίηc
ἔχοντα βίον αὐτέων; κάρτα γὰρ ἔλπομαι μηδὲ τὴν cὴν ἰητρικὴν ἁνδάνειν αὐτέοιcιν. δυcαρεcτέονται
γὰρ ὑπ' ἀκραcίηc ἅπαcι καὶ μανίην τὴν cοφίην νομίζουcι. ἤπου γὰρ ὑπονοέω λωβᾶcθαί cου τὰ
πολλὰ τῆc ἐπιcτήμηc ἢ διὰ φθόνον ἢ δι' ἀχαριcτίην. οἵ τε γὰρ νοcέοντεc ἅμα τῶι cώιζεcθαι τὴν | 378
αἰτίην θεοῖc ἢ τύχηι προcνέμουcι, πολλοὶ δὲ τῆι φύcει προcάψαντεc. ἐχθαίρουcι τὸν εὐεργετήcαντα 56
μικροῦ δεῖν προcαγανακτεῦντεc, εἰ νομίζονται χρεωφειλέται. οἵ τε πολλοὶ τὸ τῆc ἀτεχνίηc ἐφ'
ἑωυτέοιc ἔχοντεc ἀΐδριεc ἐόντεc καθαίρουcι τὸ κρέccον· ἐν ἀναιcθήτοιc γάρ εἰcιν αἱ ψῆφοι. οὔτε
δ' οἱ πάcχοντεc cυνόμιλοι εἶναι θέλουcι οὔτε οἱ ὁμοτεχνεῦντεc μαρτυρεῖν. φθόνοc γὰρ ἐνίcταται.
οὐκ ἀπείρωι cοι τῶν τοιουτέων λεcχηνεύων ταῦτα, cαφέωc δὲ εἰδὼc ταῦτα ἐν ἀναξιοπαθείηιcί cε
πολλάκιc γεννηθέντα καὶ οὐ δι' οὐcίην ἢ βαcκανίην φιλοτωθάccοντα. ἀτρεκείηc γὰρ οὐδεμία οὔτε
γνῶcιc οὔτε μαρτυρίη. ἐπεμειδία λέγων ταῦτα καί μοι, Δαμάγητε, θεοειδήc τιc κατεφαίνετο καὶ 57
τὴν προτέρην αὐτέου μορφὴν ἐκλελήcμην καί φημι· ὦ Δημόκριτε μεγαλόδοξε, μεγάλαc γε πάντων
cῶν ξενίων δωρεὰc εἰc Κῶ ἀποίcομαι· πολλοῦ γάρ με τῆc cοφίηc θαυμαcμοῦ πεπλήρωκαc. ἀπονο-
cτέω δέ cου κῆρυξ ἀληθείην ἀνθρωπίνηc φύcεωc | ἐξιχνεύcαντοc καὶ νοήcαντοc, θεραπείην δὲ λαβὼν 380
παρὰ cεῦ τῆc ἐμῆc διανοίηc ἀπαλλάccομαι τῆc ὥρηc τοῦτο ἀπαιτούcηc καὶ τῆc τοῦ cώματοc τημε-
λείηc. αὔριον δὲ καὶ κατὰ τὸ ἑξῆc ἐν ταὐτῶι γενηcόμεθα. ἀνιcτάμην ταῦτα εἰπὼν καὶ ὃc ἦν ἕτοι- 58
μοc ἀκολουθεῖν. προcελθόντι δέ τινι οὐκ οἶδ' ὁκόθεν ἀπεδίδου τὰ βιβλία. κἀγὼ ξυντονώτερον ἤπειξα
καὶ πρὸc τοὺc ὄντωc Ἀβδηρίταc ἐπὶ τῆι cκοπιῆι ἀναμένοντάc με· ἄνδρεc, ἔφην, τῆc πρὸc ἐμὲ

1 cτεφανηφορέοντεc bR δ' ἔν. b ἐν ὅπλοιcιν R δ' ἀποκτ. r ἀποκτειννύμενοι b ἀπο(κ)τιννύμενοι r τούτων r 2 cτρατηΐην (ει *supra*) b οἱ δὲ ἐπὶ cτρατ. *om.* MV cτρατηγίην R δ' ἐπ' ἀγρ. b οἱ δὲ ἐπ' ἀγροικίην *om.* U φορτίδαc *om.* UbR νῆαc Ubr 3 ἐc ἀγορ. br ἐπ' ἀγ. r οἱ *pro* ἕτεροι UbR δὲ ἐπ' Ub δὲ ἐπ' ἐκκ. r ἐc ἐκκλ. b δὲ ἐπὶ θέητρ. bR δ' εἰc U φυγαδείην R φυγαδίην b φυγαδείαν U δὲ *ante* ἀλλαχ. *om.* R καὶ *om.* bR 5 τὰc *ante* δυcτ. *add.* R ψυχὰc *pro* cπουδὰc U τοιαύταc *post* cπουδὰc *add.* Ubr ὀρεῦντεc MV: ὁρῶντεc UbR πῶc (ὅ *supra*) b χλευάcωμαι V τοιῆcδε *om.* br ἀκραcίην b τοιάνδε ἀκραcίαν U 6 αὐτῶν r αὐτέοιcι b δυcαρεcτοῦνται r δυcαριcτεῦνται b 7 γὰρ ·αὐτῆι· *pro* γὰρ ὑπ' ἀκρ., *i. mg.* γρ. τῆι ἀκροάcει b ἀκροήcει *pro* ὑπ. ἀκρ. ἅπ. R ἅπαcι *om.* UbR νομίζουcιν UbR ἥκου b ἤκουcα γὰρ ὑπὸ νοcεύντων (-ου-) cαφέωc λωβάζεcθαι *pro* ἤπου — λωβ. R *post* ὑπονοέω *add.* cαφέωc b ὑπονοῶ ὡc cαφῶc U τωθάζεcθαι cου (λωβᾶ *et* ι *supra*) b 8 δι' ἀχριcτίην M τὸ cώιζ. b 9 θεοῖcιν ἢ b ἢ θεοῖcιν ἢ R τῇ ἰδία φύcι U ἐχθραίνουcι (ρ *supra*) b ἐχθραίνουcι R 10 προcαγανακτοῦντεc b (-έοντεc r) νομίζωνται b χρεοφειλέται MU *post* χρ. *add.* εἶναι b τε *om.* R πολὺ b τὰ τῆc U ἐν Ubr 11 ἑαυτοῖc r ἑωυτοῖcιν b τε ὄντεc R καθαιροῦcι b ἐχθαίρουcι *vel* ἐχθραίνουcι r κρεῖττον V κρεῖccον Ubr ἀναιcθήτοιcι b αἰcθητοῖcι R 12 δὲ br ἐξομολογέειν (ὁμολογεῖν U) ἐθέλουcιν *pro* cυνόμιλοι εἶναι θ. UbR ὁμοτεχνέοντεc br μαρτυρέειν b 13 ἄπειροc οὖν R ἀπείροιc U τοιούτων r οὐκ ἄπειροc cὺ τῶν τοιουτέων λέcχεων ταῦτα b λεcχέων ταῦτα R λεcχημάτων U λεcχηνέων MV δὲ *om.* UR ταῦτα *post* εἰδὼc *om.* UbR ἀξιοπαθίηιcί cε b ἀξιοπαθείηcι V 14 οὐ *om.* UbR αἰτίαν *pro* οὐcίην U τε καὶ *pro* ἢ R καὶ διὰ *pro* ἢ Ub céo *addit ante* καὶ διὰ βαcκ. b φιλοτώθαcον bR φῖλον ταθάcοντα V ἀτρεκίηc b ἀτρεκὴc U οὐδεμίῆc b οὐδὲ μιῆc R οὔτε *ante* γνῶcιc *om.* bR 15 λέγ. τ. ἐπ. r *post* ἐπεμ. *addit* δὲ U θεουδὴc b τιc *om.* b καὶ τῆc πρώτηc αὐτοῦ μορφῆc ἐκλαθόμενοc b 16 αὐτοῦ r ἐξελελήcμην R ἐκλεληcμένην U καὶ *om.* b φημὶ δὲ b μεγαλόξενε R τε MV: γε Ub γὰρ *pro* γε R τῶν cῶν *pro* πάντων cῶν UbR 17 cῆc *add. ante* cοφίηc Ub θωυμαcμοῦ b ἀπονοcτέω U 18 τε *pro* δὲ R cεῦ R *post* ἀληθ. *add.* δὲ V ἀληθείηc U φύcιοc bR φύcιν U *post* νοήcαντοc *add.* καὶ λαλήcαντοc bR θεραπηΐην (εί *supra*) b τε *pro* δὲ R 18 cοῦ ÷ τῆc b cοῦ U 19 ἀπαλλάττομαι Ur τοῦτ' br ἀπαιτεούcηc b ἀξιούcηc R τημελίηc b ἐπιμελείαc *pro* τημ. U 20 καὶ *om.* R ἀνιcταμένην U ταῦτ' r ἕτοιμοc ἦν R 21 ἐπακολουθεῖν bR ὁπόθεν b ὅθεν UR ἐπεδίδου VbR cυντον. br ἐπείξαc bR 22 καὶ *om.* bR ὄντωc Vb: ὄνταc MUR τῆc cκοπιᾶc U πρόc με b

πρεσβείης χάρις ὑμῖν πολλή. Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μοῦνον δυνατώτατον. ταῦτ' ἔχω σοι περὶ Δημοκρίτεω, Δαμάγητε, φράζειν γηθόσυνα πάνυ. ἔρρωσο.

18. Δημόκριτος Ἱπποκράτει εὖ πράττειν.

1 Ἐπῆλθες ἡμῖν ὡς μεμηνόσιν, ὦ Ἱππόκρατες, ἐλλέβορον δώσων πεισθεὶς ἀνοήτοις ἀνδράσι, παρ' οἷς ὁ πόνος τῆς ἀρετῆς μανίη κρίνεται. ἐτυγχάνομεν δὲ περὶ κόσμου διαθέσεως καὶ πολογρα-
2 φίης ἔτι τε ἄστρων οὐρανίων ξυγγράφοντες. γνοὺς δὲ τὴν ἐπὶ τούτοις φύσιν ὡς ἀκεραίως κάρτα ἐπιδεδημιουργημένα καὶ ὡς τηλοῦ μανίης καὶ παραφρονήσεως καθέστηκεν, ἐμεῖο μὲν φύσιν ἐπήινεσας, ἀπηνέας δὲ καὶ μεμηνότας κείνους ἔκρινας. ὁκόσα γὰρ ἰνδαλμοῖς διαλλάττοντα ἀνὰ τὸν ἠέρα
382 πλάζει ἡμέας, ἃ δὴ κόσμωι ξυνορᾶται | κἂν ἀμειψιρυσμίηις ἐόντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν
3 ἐρευνήσας ἀτρεκέως εἰς φάος ἤγαγε· μάρτυρες δὲ τουτέων βίβλοι ὑπ' ἐμεῖο γραφεῖσαι. χρὴ οὖν καὶ σέ, ὦ Ἱππόκρατες, μὴ τοιουτοτρόποις ἀνδράσι ξυνέρχεσθαι καὶ ξυνομιλέειν, ὧν νόος ἀκρόπλοος καὶ ἀβέβαιος καθέστηκεν. εἰ γάρ τοι πεισθεὶς ὡς μεμηνότα με ἐπότισας, ἡ πινυτὴ μανίη ἂν ἐγεγόνει
4 καὶ σέο τέχνην κατεμέμψαντο ὡς παραιτίην παρακοπῆς γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς ἐπισκοτεῖ διάνοιαν, μεμηνόσι δὲ κάρτα ὠφελέειν εἴωθεν. ἐννοήθητι γάρ· εἰ μὴ κατειλήφεις με γράφοντα, ἀνακείμενον δὲ ἢ σχέδην περιπατοῦντα καὶ προσομιλέοντα ἐμαυτῶι ὁτὲ μὲν δυσχεραίνοντα, ὁτὲ δὲ μειδιῶντα ἐπὶ τοῖς ἐννοουμένοις ὑπ' ἐμεῖο καὶ τοῖς μὲν προσομιλέουσι τῶν γνωρίμων οὐ προσέχοντα, ἐφιστάντα δὲ τὴν διάνοιαν καὶ σκεπτόμενον ἐκπάγλως, ᾠήθης ἂν Δημόκριτον
5 κατά γε ὄψιος κρίσιν ἐκ τῶν ὀρεομένων μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰητρὸν μὴ μόνον ὄψει τὰ πάθη κρίνειν, ἀλλὰ καὶ πρήγματι τούς τε ῥυθμοὺς ἀνακρίνειν ὡς ἐπὶ τὸ πλεῖστον καὶ πότερον ἄρχοιτο τὸ πάθος ἢ μεσάζοι ἢ λήγοι καὶ διαφορὴν καὶ ὥρην καὶ ἡλικίην παρατηροῦντα ἰητρεύειν
384 τὸ πάθος οὐλομελίην τε τοῦ | σκήνεος. ἐκ γὰρ τουτέων ἁπάντων εὐχερῶς τὴν νοῦσον εὑρήσεις. ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον. ἔρρωσο.

1 ὑμῖν *om.* UbR 2 μόνον br δυνάμενον R ταῦτα r δημοκρίτω U φράζ. Δαμ. V γηθοσύνως U γηθόσυνος bR *post* πάνυ *add.* γε b 3 ΙΗ MU ΙΘ b εὖ πράττειν *om.* r 4 ὦ ἱππ. ὡς μεμ. bR οἷσιν b τῆς ἀρετ. *om.* VR *post* δὲ *addit* τότε U διαθέσιος br 6 ξυγγρ. U συγγ. br γνοὺς V: γνώσηι M: γνώσει U, γνωθεὶς *sic* b, γνῶθι R τουτέων (τούτων R) *pro* ἐπὶ τούτοις bR ἀκεραίως V: ἀτρεκέως [καιρ] b, ἀτρεκέως UR ἀκαίρως M 7 εἴη δεδημιουργημένα *pro* ἐπιδεδ. UbR μανίης ⸓ καὶ ⸓ ⸓ παραφρονήσιος b καθεστήκοι bR ἐμέο VR 8 ἐκείνους bR ἄφρονας δὲ ἐκείνους καὶ ἀπηνεῖς καὶ μεμηνότας ἔκρινας U ἰνδαλμοῖσι Vbr διαλλάσσοντα R διαλλάττονται U 9 συνορᾶται R συνεορᾶται b κἂν ἀμειψιρυσμίηις *corr. Diels, Vorsokr I² (1906) p. 448:* καὶ ἀμειψιροῖς μιης M καὶ ἀψιμόροις μιησέοντα V ˙καὶ αμαψιροισμιη˙, *i. mg.* γρ. καὶ ἀμειψιρυσίημιν b κόσμος ξυνορᾶται καὶ ἄμεινον τέτευχε, τούτων νόος U καὶ μιῇ ἐόντα τέτ. r 10 ἀτρεκέως U ἐς b φῶς R ἤγαγεν bR τούτων br ἐμέο bR χρὴν (ν *ead. m. intrusit*) *i. mg.* χρὴν σὺν τῶι ν καὶ περισπωμένως τὸ παρεληλυθὸς τὸ ἔδει b 11 τοιούτοις τρόποις U ξυνέρχ. U ξυνομιλεῖν U συν. καὶ συν. r ἀκρόπλοος [ολ] b: ἀκρόπλοος R ἀκρόπαθος V ἀκρόπολις UM 12 τοι *om.* R *post* πεισθεὶς *add.* τούτοισιν (τούτοις U) UbR ἡ [σύνεσις] πινυτὴ μανίη ἂν ἐγεγόνει bR *idem exhib.* R, *sed* πιτύνη *pro* πιν.: ἐν πινυτῆι (πιννυτη V) μανίηι (μανία UV) ἂν (ἂν *om.* V) ἐγεγόνειν (ἐγεγόνη U) MUV 13 τέχνης U *ante* κατεμέμψαντο *add.* ἂν UbR ὡς παραιτίην (-αν U) MUV: ὥσπερ αἴτιον [ην] ... γενόμεν[η]ν b παραίτιον R μὲν *om.* V 14 διανοίην br *post* δὲ *add.* δοθεὶς bR ὠφελεῖ *sine* εἴωθεν R *correxi* ἐννοήθητι: ᾠήθην (η *prior in ras.* M) γὰρ MV εἴωθε νωθῆτε γὰρ U εἴωθεν· τί γὰρ b γνῶθι γὰρ ὡς εἰ μὴ R καταλελαβήκεις R 15 ἀνακεκλιμένον V ἀλλ' ἀνακεκλιμένον *pro* ἀνακείμενον δὲ R ἀνακεκλημένον U σχέδην bR: σχεδὸν MV σχολῇ U περιπατεῦντα ⸓ καὶ προσομιλεῦντα br ἑωϋτῶι b ἑαυτῷ UR *ante* ὁτὲ μὲν δυσχ. *add.* καὶ πολλάκις bR ποτὲ — ποτὲ U 16 τοῖσιν ἐννοευμένοισιν br τοῖσι μ. προσομιλεῦσι br 17 ἐφιστάνοντα bR ἐφιστάντε U σκεπτόμενον ˙ἱκανῶς, ἔγνως˙ ἂν *i. mg.* γρ. ἐκπάγλως ᾠήθης b ἱκανῶς ἔγνως R ἱκανῶς *pro* ἐκπάγλως U δημόκριτον ⸓ κατά γε b 18 τὴν *pro* γε R ˙τοιοῦτον οὖν˙ χρὴ b ἰατρὸν r μόνη τῇ ὄψει V μοῦνον bR 19 πάθεα bR πρήγμασιν b πράγμασι R ἐρευγμοὺς [ῥυθ] b ἐρευγμοὺς R 20 μεσάζει U ἡλικίην ⸓ ⸓ παρατηρέεειν [οὖν] εἶτα ἰητρ. b *ante* παρατ. *add.* καὶ MV παρατηρέειν R *ante* ἰητ. *add.* εἶτα R ἰατρεύειν V 21 οὐλομελείην M οὔτε *(sic)* μετὰ τὴν μελέτην τοῦ σκήνους *pro* οὐλ. τε τοῦ σκ. U εὐχερῶς [καὶ] ἂν τὰς νούσους εὕροις b ἂν τὰς νούσους εὕροις R 22 ἀπέστειλα bR ἔρρ. *om.* R

19. Ὁ περὶ μανίης λόγος.[1])

[τὸν περὶ μανίης λόγον αὐτῶι γραφέντα ἐν τῶι Περὶ ἱερῆς νούσου.] Μαινόμενοι δέ, ὡς ἔφην 1
ἐν τῶι Περὶ ἱερῆς νούσου, ὑπὸ ὑγρότητος τοῦ ἐγκεφάλου, ἐν ὧι ἐστι τὰ τῆς ψυχῆς ἔργα. ὅταν
ὑγρότερος τῆς φύσιος ἦι, ἀνάγκη κινεῖσθαι. κινουμένου δὲ μήτε τὴν ὄψιν ἀτρεμίζειν μήτε τὴν ἀκοήν,
ἀλλὰ ἄλλοτε ἄλλα ὁρῆν τε καὶ ἀκούειν, τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπηι τε
καὶ ἀκούηι ἑκάστοτε. ὅσον δὲ ἂν ἀτρεμίσηι ὁ ἐγκέφαλος, τοσοῦτον καὶ φρονεῖ χρόνον ὁ ἄνθρωπος.
γίνεται δὲ ἡ διαφθορὰ τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος καὶ χολῆς. γνώσει δὲ ἑκάτερα ὧδε· οἱ μὲν 2
γὰρ ὑπὸ φλέγματος μαινόμενοι ἥσυχοί τε εἰσι καὶ οὐ βοηταὶ. οὐδὲ θορυβώδεες, οἱ δὲ ὑπὸ χολῆς
πρῆκται καὶ κακοῦργοι καὶ οὐκ ἠρεμαῖοι. ἢν μὲν ξυνεχῶς μαίνωνται, αὗται αἱ προφάσιές εἰσιν, ἢν
δὲ δείματα καὶ φόβοι, ὑπὸ μεταστάσιος γίνεται τοῦ ἐγκεφάλου θερμαινομένου ὑπὸ χολῆς ὁρμώσης
ἐπ᾽ αὐτὸν κατὰ τὰς φλέβας τὰς αἱματίτιδας· ὅταν δὲ ἀπέλθηι ἡ χολὴ πάλιν ἐς τὰς φλέβας καὶ
τὸ σῶμα, πέπαυται. ἀνιῆται δὲ καὶ ἀσῆται καὶ ἐπιλήθεται παρὰ καιρὸν ψυχομένου τοῦ ἐγκεφάλου 3
ὑπὸ φλέγματος καὶ ξυνισταμένου παρὰ τὸ ἔθος. ὅταν δὲ ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται ὑπὸ
χολῆς κατὰ τὰς φλέβας τὰς προειρημένας ἐπιζέσαντος αἵματος, ἐνύπνια ὁρεῦσι φοβερὰ καὶ ὡς
ἐγρηγορότι τὸ πρόσωπον φλογιᾶι, καὶ οἱ ὀφθαλμοὶ ἐρεύθονται, καὶ ἡ γνώμη ἐπινοεῖ τι κακὸν
ἐργάζεσθαι. τοῦτο καὶ ἐν τῶι ὕπνωι | πάσχει. ὅταν δὲ τὸ αἷμα σκεδασθῆι πάλιν ἐς τὰς φλέβας, πέ- 386
παυται. ἐν δὲ τῶι πέμπτωι τῶν Ἐπιδημιῶν ἱστορήσας, ὡς ἐγίνετο ἀφωνίη, ἄγνοια, παραλήρησις, 4
συχναὶ καὶ ὑποστροφαί. ἡ δὲ γλῶσσα σκληρή, καὶ εἰ μὴ διακλύσαιτο, λαλεῖν οὐχ οἷός τε ἦν, καὶ
σφόδρα πικρή. τὰ πολλὰ φλεβοτομίη ἔλυσεν, ὑδροποσίη, μελίκρητον, ἐλλεβόρων πόσιες. οὗτος ὀλίγον
ἐπιζήσας χρόνον ἐτελεύτησεν. ἄλλος ἦν ὃν ὅτε εἰς πότον ὁρμώιη, φόβος τῆς αὐλητρίδος ἐλάμβανεν,
εἰ ἀκούσειεν αὐλούσης. ἡμέρης δὲ ἀκούων οὐδὲν ἔπασχε.

20. Ἱπποκράτης Δημοκρίτωι εὖ πράττειν.

Ἰητρικῆς τέχνης, ὦ Δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ παντάπασιν 1
ἐπαινοῦσιν, θεοῖς δὲ πολλάκις προσαρτῶσιν. ἢν δέ τι ἡ φύσις ἀντιπρήξασα ὑπεκλύσηι τὸν θεραπευό-
μενον, τὸν θεραπεύοντα ἰητρὸν καταμέμφονται παρέντες τὸ θεῖον. καὶ ἔγωγε δοκέω πλείονα
μεμψιμοιρίην ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς ἐς τέλος οὐκ ἀφῖγμαι καίπερ 2

2 Περὶ ἱερ. νούς. 14. 15 (VI 388 sq. L.) 17 Ἐπιδημ. VII 85. 86 (V 444 L.)

Hanc epistulam omis. R. *In cod.* U *epistulam 18 excipit prior ep. 20, posterior haec ep. 19, ut hic ordo fiat: 18, 20, 19* *Numerus deest in* M. Κ̄ Ub *titulum om.* V Δημόκριτος Ἱπποκράτει περὶ μανίης b τὸν — νούσου (γραφέντα αὐτῶ V) MV: *om.* b *lectoris cuiusdam esse verba ad finem ep. 18 pertinentia arbitratus uncis inclusi* 2 μαινομένωι Mb μαινομαῖνω U μαιν. — νούσου (3) *om.* V: *scripsi* μαινόμενοι 4 ἐστὶν b 4 τὴν *om.* U 5 ἀλλ᾽ ἄλλοτε ἀλλοίην V ἀλλοίην b ἀλλοῖην (α superscr.) M *(al. m. superscripsit)* ἄλλο τι ἀλλοίειν *(sic)* U 5 βλέπει — ἀκούει U γνώσει (ηι superscr.) M γνωσηι (ηι *in ras.*) b γνώση UV 8 εἰσὶν b θορυβώδεις UV 9 οὐχ ἠρεμαῖοι V συνεχῶς Ub 10 γίγνεται b 11 τὰς *om.* MU ἡ *om.* U 12 πέπαυνται b ἀνιῆται ... ἀσῆται b ἄσηται U *post* ἐγκεφάλου *iteravit librarius verba* θερμαινομένου ὑπὸ χολῆς ὁρμώσης *quae supra leguntur* V 13 συνιστ. b προειρημένας b: εἰρημένας MUV ὁρέουσιν b 15 φλόγια b ἐρεύθονται b: ἐρυθραίνονται MUV 16 ὕπνωι b: ἐνυπνύωι MUV εἰς b ἱστόρησας ὧι ἐγ. b 17 ἐγίνετο ἀφωνίη U ἐγίγνετο b παραληρήσεις Ub ἐτελεύτησε V 20 ὃν ὅτε Vb: ὃν *om.* M ὃς ὅτι U ὁρμᾶ ἢ *(sic)* V φόβον U 21 ἔπασχην UVb 22 ΙΘ̄ MU ΚᾹ b χαίρειν *pro* εὖ πρ. R πρήσσειν b 23 πάμπολλοι ... οὗτοι *(sic)* U 24 ἐπαινοῦσιν Mb: ἐπαινοῦσι UV ἐπαινέουσι R θεοῖσι R τὰ πολλὰ U προσάπτουσιν (ρτῶ superscr.) b προσάπτουσιν V κἂν *pro* ἢν R *scripsi* ὑπεκλύσηι τὸν θεραπευόμενον, τὸν θεραπεύοντα ἰητρὸν καταμέμφονται: ἀπολέσηι M (*sed corr. ex* ὑποκλύσηι) bR ὑποκλύσηται V ἀπολέσει U τὸν θεραπευόμενον UVbR: *om.* M τὸν θεραπεύοντα ἰητρὸν M: *om.* τὸν θεραπ. UVbR 25 *ante* ἰητρὸν *add.* τότε *pro* τὸν UV τὸν ÷ ἰητρ. b ἰατροὺς U ἐγώ (γε superscr.) b ἐγὼ R 26 μεμψιμυρίην M ἐς U εἰς r

1 cf. quae de hac et sequentibus epistulis disputavit J. F. Marcks, Symbola critica ad epistolographos Graecos, Bonnae 1883, p. 33 sqq.

ἤδη γηραλέος καθεστώς, οὐδὲ γὰρ ὁ τῆςδε εὑρετὴς Ἀσκληπιός, ἀλλὰ καὶ αὐτὸς ἐν πολλοῖς
3 διεφώνησε, καθάπερ ἡμῖν αἱ τῶν ξυγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σέο ἐπισταλεῖσα
ἡμῖν ἐπιστολὴ κατεμέμφετο περὶ τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν οὖν, ὦ Δημόκριτε,
ὡς μεμηνότα ἐλλεβοριῶν, οὐ καταμαντευσάμενος ὅστις ποτ' εἴης. ὡς δ' ἐντυχὼν ἔγνων οὐ μὰ Δία
παραφρονήσεως ἔργον, ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, κάρτα σὴν φύσιν ἐπήνεσα ἄριστόν τε φύσεως
ἑρμηνευτὴν καὶ κόσμου ἔκρινα, τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας· φαρμακείης
4 γὰρ αὐτοὶ ἔχρηιζον. ἐπειδὴ τοίνυν τὸ αὐτόματον ἡμέας εἰς τὸ αὐτὸ ἤγαγεν, ὀρθῶς ποιήσεις
388 ἐπιστέλλων ἡμῖν πυκνότερον καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γραφομένων ξυνταγμά|των. ἀπέσταλκα δέ
σοι καὶ αὐτὸς τὸν Περὶ τοῦ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.

21. Περὶ ἐλλεβορισμοῦ Ἱπποκράτης Δημοκρίτωι.

1 Τοῖς μὴ ῥηιδίως ἄνω καθαιρομένοις πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα πλέονι τροφῆι
καὶ ἀναπαύσει. ἐπὴν πίνῃ ἐλλέβορον, πρὸς τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, μὴ πρὸς ὕπνους.
δηλοῖ δὲ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει. ἐπὴν βούληι μᾶλλον ἄγειν ἐλλέβορον, κίνει
2 τὰ σώματα. ἐλλέβορος ἐπικίνδυνος τοῖς σάρκας ὑγιᾶς ἔχουσι. ὅσοι ἐν ταῖς φαρμακοποσίαις μὴ δι-
ψῶσι, καθαιρόμενοι οὐ παύονται πρὶν ἢ διψήσωσι. σπασμὸς ἐξ ἐλλεβόρου θανάσιμον. ἐπὶ ὑπερκαθάρ-
σει σπασμὸς ἐπιγενόμενος κακόν. ἐν ταῖς ταραχαῖς τῆς κοιλίης καὶ τοῖσι ἐμέτοις τοῖς αὐτομάτως
γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· εἰ δὲ
3 μή, τοὐναντίον. ὡς δὲ ἔφην ἐν τῶι Προγνωστικῶι[1]), κάθαρσις εὐθετεῖ ἡ ἄνω, ἐφ' ὧι ἀπυρέτωι
ἀσιτίη, καρδιωγμὸς ἢ σκοτόδινος ἢ στόμα ἐκπικρούμενον, καθόλου ταῖς ὑπὲρ τῶν φρενῶν ὀδύναις.
ἡ δὲ κάτω, ὅπου χωρὶς πυρετοῦ στρόφος, ὀσφύος ὀδύνη, γουνάτων βάρος, καταμήνια δυσερ-
4 γοῦντα, ὀδύναι ἐν τοῖς ὑπὸ διάφραγμα. φυλάσσεσθαι[2]) δὲ ἐν ταῖς φαρμακοποσίαις τοὺς ἀστείους
τὰ σώματα, μάλιστα δὲ τοὺς μέλανας καὶ ὑγροσάρκους καὶ τοὺς ὑποξήρους δὲ καὶ ψελλοὺς καὶ
5 τραυλούς. ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῆι τῆς νούσου, ὡς ἔφην ἐν τῶι Περὶ πτισάνης[3]), εὐθέως
390 ἐπιχειροῦσιν λύειν φαρμακείῃ, τοῦ μὲν ξυν|τεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ὠφελέουσιν, οὐδὲ
γὰρ διαδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος, τὰ δὲ ἀντέχοντα τῶι νοσήματι καὶ ὑγεινὰ ξυντήκουσι· ἀσθενέος
6 δὲ τοῦ σώματος γινομένου τὸ νόσημα ἐπικρατεῖ, καὶ ἀνιήτως ἔχουσι. ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ
κεφαλῆς φέρεται ῥεῦμα. μὴ διδόναι δὲ ἐπὶ ἐμπύων, μὴ φαρμακεύειν τοὺς ἀχρόους, τοὺς βραγχώ-
δεας, τοὺς σπληνώδεας, τοὺς ἀφαίμους, τοὺς πνευματώδεας καὶ ξηρὰ βήσσοντας, διψώδεας, φυσώ-

11 sqq. Aphorism. IV 13—16 (IV 504 sq. L.) 14 Aph. IV 19 (508) 15 Aph. V 1 (532) Aph. V 4 (532) 16 Aph. I 2 (458) 23 Π. διαίτης ὀξ. 5 (I 148 Kuehlew.) 26 ibid. 40 (167 K.) 27 ibid. 55 (173 K.)

1 ἤδη *om.* U καθεστεώς b εὐὲργέτης b ἐν πολλοῖς *om.* R 2 διεφώνησεν Ub αἱ τῶν *om.* UVbR συγγρ. UVbr ἀποσταλεῖσα bR 3 ἐπιστολὴν *(sic)* U περὶ *om.* R περὶ τοῦ ἐλλεβορισμοῦ τῆς φαρμακείας U 4 ἐλλεβορίσων R *ante* οὐ *add.* ὡς R δὲ r εἶδον *pro* ἔγνων R 5 παραφρονήσιος b ἀποδοχῆς *om., alia m. i. mg. add.* M πάσης — *ep. 21* — λιτι τετριμμένον *(p. 25, 8) om.* b. *folium intercidit.* σχεδὸν *om.* U σὴν *om.* UR φύσιος VR ἑρμηνέα φυς. R φαρμακίης V 7 ταὐτόματον VR ταυτὸ R ξυνήγαγεν R 8 γεγραμμένων r συνταγμ. r ἀπέστειλα R 9 τοῦ *om.* UVR 10 Κ̄ M, *numerum non exhibet* U 11 ῥηϊδίως U πλέον ἢ U 12 ἐπ ἂν πίει U 13 βούλει (ηι *supra*) M βούλει U 14 ὑγιᾶς UV: ὑγιέας (ε *al. m. add.*) M ἔχουσιν UV δι-ψώσωσι M 16 τοῖσιν V 17 γινομένοις U ἣν U καθαίρονται V 18 εὐθετίη MUV: εὐθετεῖ ἡ H *(Paris. 2142 saec. XIII. cf. Hippocr. op. ed. Ilberg-Kuehlewein, praef. XXI)* ἐφ' ὧν MUV: *corr. Littré* 19 ἢ *ante* καρδ. *add. m. alia* M ἢ *utroque loco om.* H σκοτοδείνος *corr. al. m.* M σκοτώδινος U στόματος *(sic)* U 20 εἰ U γουνάτων U 24 ἐπιχειροῦσι UV φαρμακίη UV ξυντετ. U ὠφελεῦσιν HV 25 διαδιδοῖ H: διαδίδοι *(sic)* V διαδίδω M διαδίδωσιν U ἐὸν U ὑγιεινὰ UV ξυντ. U 26 ἔχουσιν UV 27 ἔμπυον MU ἀχροίους V

1) erravit auctor in libro laudando. leguntur haec verba Aphorism. IV 17. 18. 20 (IV 506. 508 L.).

2) φυλάσσεσθαι κτέ. ex compluribus locis aphorismorum hoc enuntiatum consutum est, cf. Aph. II 36. 37 (IV 480 L.), IV 6. 7 (504 L.), 16 (506 L.).

3) hic alius titulus est libelli, qui vulgo Περὶ διαίτης ὀξέων inscribitur. cf. Littré I 327 adn. 2.

δεας, ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰς καὶ μετάφρενα, τοὺς ἀπονεναρκωμένους καὶ ἀμαυρὰ
βλέποντας καὶ οἷς ἦχοι τῶν ὤτων καὶ τῆς οὐρήθρης ἀκρατεῖς μηδὲ τοὺς ἰκτερώδεας ἢ κοιλίης
ἀσθενέας ἢ αἱμορρώδεας ἢ ἐν φύμασιν. ἢν δὲ φαρμακεῦσαι δοκῆι, ἐλλεβόρωι ἀσφαλῶς ἄνω κάθαιρε, 7
κάτω δὲ μή· κράτιστον δὲ τούτοις διαιτῶν. ὡς δὲ ἔφην ἐν τῶι Προρρητικῶι, μὴ φαρμακεύειν μη-
δὲ τοὺς ἐπανεμοῦντας μέλανα, ἀποσίτους καὶ παραφόρους, καθ'- ἕδρην μικρὰ ὀδυνώδεας, ὄμμα
θρασύ, κεκλιμένον ἔχοντας, ἐποιδοῦντας, σκοτώδεας, ἄχρους, μηδὲ τοὺς ἐν πυρετῶι καυματώδεας
κατακεκλασμένους. ὡς δὲ ἔφην ἐν τῶι Περὶ πτισάνης, σησαμοειδὲς ἄνω καθαίρει. ἡ πόσις ἥμισυ 8
δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένον· ξυμμίσγεται δὲ καὶ τοῖς ἐλλεβόροις τὸ τρίτον μέρος τῆς πόσιος
καὶ ἧσσον πνίγει. καθαίρειν δὲ καὶ τοὺς ἐν χρονίοις τεταρταίοις καὶ τοὺς ἐν λιπυριώδει πυρετῶι 9
χρονίους καὶ ὧν οὐκ ἔστι δίψος μηδὲ ἀπόκρισις, τούτους | δὲ μὴ πρότερον τῶν τριῶν ἑβδομάδων, 392
ποτὲ δὲ καὶ πλευριτικοὺς καὶ εἰλεώδεις· ὡς δὲ ἔφην ἐν τῶι Περὶ γυναικείων, καθαίρειν καὶ ἢν αἱ
μῆτραι καθάρσεως δέωνται.

22. Ἱπποκράτους πρὸς τὸν υἱὸν Θεσσαλόν.

Ἱστορίης δὲ μελέτω σοι, ὦ παῖ, γεωμετρικῆς καὶ ἀριθμήσιος· οὐ γὰρ μόνον σέο καὶ τὸν βίον 1
εὐκλεᾶ καὶ ἐπὶ πολλὰ χρήσιμον ἐς ἀνθρωπίνην μοίρην ἐπιτελέσει, ἀλλὰ καὶ τὴν ψυχὴν ὀξυτέρην
τε καὶ τηλαυγεστέρην κατὰ τὸ ἐν ἰητρικῆι ὠνῆσθαι πᾶν ὅτι χρήιζει. καίτοι ἡ μὲν τῆς γεωμετρίης 2
ἱστορίη, ἐοῦσα πολυσχήμων τε καὶ πολυειδὴς καὶ πᾶν μετ' ἀποδείξεως περαινομένη, ἔσται χρησίμη
πρός τε τὰς τῶν ὀστέων θέσεις καὶ ἐξαρθρήσεις καὶ τὴν λοιπὴν τῶν μελέων τάξιν. † εἰς τὴν γὰρ
τούτων πολυτροπίην εὐεπιγνωστότερον ἐμβολῆι τε ἄρθρων καὶ τῆι τῶν ὀστέων τῶν συντριβομένων
ἀναπρίσει τε καὶ ἐκτρυπήσει καὶ συνθέσει καὶ ἐξαιρέσει καὶ τῆι λοιπῆι θεραπείηι χρῆσθαι εἰδώς,
ὁκοῖόν τε χωρίον ἐστὶ καὶ τὸ ἐκ τούτου ἐξαιρεύμενον ὀστέον. ἡ δὲ τῆς ἀριθμήσιος τάξις πρός τε 3
τὰς περιόδους καὶ ἀλόγους τῶν πυρετῶν μεταστάσιας καὶ τὰς κρίσιας τῶν νοσεόντων καὶ τῆς ἐν
νούσοις ἀσφαλείης ἀρκέουσα ἔσται. μάλα γὰρ σεμνὸν ὑπηρεσίαν ἔχειν ἐν ἰητρικῆι τοιήνδε, ἥτις σοι 4
τὰ μέρεα τῆς ἐπιτάσιος καὶ τῆς ἀνέσιος ὄντα ἄνισα [ὄντα] τὴν μοῖραν εὔγνωστα παρέχεται χωρὶς
ἀμπλακίης. διὸ δὴ κάρτα ἐς δύναμιν ἀφίκνεο τῆς τοιῆσδε ἐμπειρίης. ἔρρωσο.

3 ibid. 57 (174 K.) 4 Προρρ. I 71 (V 528 L.) 7 Π. διαίτ. ὀξ. 60 (176 K.) 12 Γυναικ. I 74 (VIII 158 L.)

3 φυσήμασι U δοκέηι H δοκεῖ M κάθαρε *(sic)* U 5 καθεύδειν HMUV: *scripsi* καθ' ἕδρην 7 καθαίρειν U 8 τετριμμένωι HMUVb: τετριμμένον *corr. Foesius* ξυμμ. U 9 τοὺς Ub: τοῖς MV ἐγχρ. V 10 ἔστιν b τούσδε *pro* τούτους δὲ U 11 πλευρετικοὺς U 12 δέονται U 13 *In cod.* b *epistulam 21 excipit ep. 23, tum sequitur ep. 22* ΚΆ M ΚΔ b, *numerus in* U *non extat.* Θεσαλόν M υἱέα b 14 ὦ παῖ, μελ. σοι V *post* ἀριθμήσιος *superscripsit alia m.* καὶ ἀστρολογίας U 15 χρήσιμον ÷ ἐς b μοῖραν Vr 16 τε *om.* br ὠνῆσθαι V: ὤνησθαι b ὀνῆσθαι M ὀνεῖσθαι UR χρήζεις b 17 πολυσχήμων Vb: πολὺ///χειμών M (σ *erasa est*) πολύσχημος UR μετὰ R ἔστω U 18 τε *om.* R καὶ ἐξαρθρήσεις *om.* U ἐξαρθρήσεις (ιθμ *supra*) b ἐς γὰρ. τουτων (τὴν ἐ *supra*) b εἴση *pro* εἰς τὴν R 19 ἐμβολῆι b 20 ἀναπρήσει U ἀναποίσει V χρῆσθαι (σα *supra*) b εἰδότι U εἰδὼς *ex* εἶδος *corr.* M 21 ἐστὶν b ἐξαιρεύμενον b *(ex* ἐξορεύμ. *corr. ead. m.)* R: ἐξορεύμενον MV ἐξορώμενον U 23 ἔστω MUV ἔστω (αι *supra*) b 24 ἐπιστάσιος M ἐπιτάσεως R ἀνέσεως R ὄντα ἄνισα ὄντα MU ὄντα *ante* ἄνισα *om.* V ὄ-τὰν ἄνισα . τὴν (·ὄντα. *supra*) b (*fuit* ὄντα ἄνισα) *i. mg.* ἰσότητα b ὅταν ἄνισα εἰς ἰσοτάτην μοίραν R τῆ μοῖρα *sic* U 25 ἀμπλακείης U ἀμβλακίης MV ἀφικνέω U ἀφικνέοιο R

Ἱπποκράτους ἐπιστολαί M ἐπιστολαί V τέλος Ἱπποκράτους ἐπιστολῶν (ἐπιστολαί *primo, sed corr. ipse*) U *sequitur* Δόγμα Ἀθηναίων MUV

23. Δημόκριτος Ἱπποκράτει περὶ φύσεως ἀνθρώπου.

394 1 Χρὴ πάντας ἀνθρώπους ἰητρικὴν τέχνην ἐπίστασθαι, ὦ Ἱπποκρά|τες· καλὸν γὰρ ἅμα καὶ
ξυμφέρον ἐς τὸν βίον, τουτέων δὲ μάλιστα τοὺς παιδείας καὶ λόγων ἴδριας γεγενημένους. ἱστορίην
2 σοφίης γὰρ δοκέω ἰητρικῆς ἀδελφὴν καὶ ξύνοικον. ‘σοφίη μὲν γὰρ ψυχὴν ἀναρύεται παθέων, ἰητρικὴ
δὲ νούσους σωμάτων ἀφαιρέεται.’ αὔξεται δὲ νόος παρεούσης ὑγείης, ἣν καλὸν προνοέειν τοὺς ἐσθλὰ
φρονέοντας· ἕξεως δὲ σωματικῆς ἀλγεούσης οὐδὲ προθυμίην ἄγει νόος ἐς μελέτην ἀρετῆς· νοῦσος
3 γὰρ παρεοῦσα δεινῶς ψυχὴν ἀμαυροῖ, φρόνησιν εἰς συμπαθείην ἄγουσα. φύσεως δὲ ἀνθρωπίνης
ἡ περιγραφὴ θεωρίην ἔχει τοιήνδε· ὁ μὲν ἐγκέφαλος φρουρέει τὴν ἄκρην τοῦ σώματος, ἀσφάλειαν
ἐμπεπιστευμένος, ὑμέσι νευρώδεσι συνεισκατοικέων, ὑπὲρ ὧν ὀστέων διπλαῖ φύσιες ἀναγκαίαι
ἀρηρυῖαι δεσπότην φύλακα διανοίης καλύπτουσιν ἐγκέφαλον, τριχῶν εὐκοσμίαι χρῶτα κοσμεῦσαι.
4 τὸ δὲ τῶν ὀμμάτων ὁρητικὸν ἐν πολυχίτωνι φωλεῦον ὑγροῦ εὐσταθείαι ὑπομετώπωι κοιλασίηι
ἐνίδρυται. θεωρίης δὲ αἴτιον ἀκριβὴς [δὲ] κόρη φύλακα ταρσὸν εὐκαιρίης ὑπομένων. διπλοῖ δὲ ῥώθωνες,
5 ὀσφρήσιος ἐπιγνώμονες, διορίζουσιν ὀφθαλμῶν γειτνίην. μαλακὴ δὲ χειλέων ἁφὴ στόματι περι-
πτυσσομένη, ῥημάτων αἴσθησιν ἀκριβῆ τε διάρθρωσιν παρέσχηκεν κυβερνωμένη. γένειον δὲ ἀκροτελὲς
καὶ χελύνειον γόμφοις συνηρμοσμένον. ἐκδοχεῖα δὲ μύθων ὦτα δημιουργὸς ἀνέωιγεν, οἷς ἐπεὼν
ὁ θυμὸς οὐκ ἀσφαλὴς διήκονος ἀλογιστίης γίνεται. λαλιῆς μήτηρ γλῶσσα, ψυχῆς ἄγγελος, πυλωρεῦσα
6 τὴν γεῦσιν, ἐχυροῖς ὀδόντων θριγκοῖσι πεφρούρηται. βρόγχος δὲ καὶ φάρυγξ ἡρμοσμένοι ἀλλήλοις
γειτνιῶσιν· ὁ μὲν γὰρ ἐς κέλευθον πνεύματος, ὁ δὲ εἰς βυθὸν κοιλίης τροφὴν προπέμπει λάβρον
396 ὠθεύμενος. κω|νοειδὴς δὲ καρδίη βασιλίς, ὀργῆς τιθηνός, πρὸς πᾶσαν ἐπιβουλὴν ἐνδέδυκε θώρακα.
7 θαμιναὶ δὲ πνευμόνων σήραγγες ἠέρι διοδεύμεναι, φωνῆς αἴτιον πνεῦμα τίκτουσιν. τὸ δὲ χορηγὸν
αἵματος καὶ μεταβάλλον εἰς τροφὴν σὺν λοβοῖς πολλάκις κοίληι περιπλόοις ἐστὶ ἧπαρ ἐπιθυμίης
αἴτιον. χλωρὴ δὲ χολὴ πρὸς ἥπατι μένουσα καὶ διαφθορὴ σώματος ἀνθρωπηΐου ὑπερβλύσασα γίνε-
ται. βλαβερὸς δὲ σώματος ἀνθρωπίνου καὶ ἀνωφελὴς ἔνοικος σπλὴν ἀπέναντι εὕδει πρᾶγμα μη-
8 δὲν αἰτούμενος. μέση δὲ τουτέων χορηγεῖ πανδέκτειρα κοιλίη, κἄτ' εὐνάζεται διοικέουσα τὴν πέψιν.
ἔνοχα δὲ κοιλίης, συνθέσεως δημιουργίηι συνδονεύμενα, εἱλεῖται περὶ κοιλίην ἔντερα, λήψεως καὶ
9 ἀποκρίσεως αἴτια. δίδυμοι δὲ νεφροὶ ἰσχίοισιν ἐνηδρασμένοι καὶ ἠμφιεσμένοι δημῶι οὔρων ἐκκρίσεως
οὐκ ἀλλότριοι πεφύκασι. κύριος δὲ ἁπάσης κοιλίης ὁ καλούμενος ἐπίπλους γαστέρα πᾶσαν ἐμπερι-
10 είληφεν, μόνου σπληνὸς ἄτερ. ἑξῆς νευρώδης κύστις ἰσχίωι στόμα ἐνηδρασμένη, συμπεπλεγμένων
ἀγγείων, οὔρων ἐκκρίσεως αἰτίη γίγνεται. ἡ δὲ γειτνιῶσα ταύτηι μήτηρ βρεφέων ἡ (δεινὸν ἄλγος)
τῶν ἐν γυναικὶ μόχθων μυρίων παραιτίη μήτρη πεφώλευκεν· ἡ πυλωρὸς μυχοῖς ἰσχίων βράσασα
11 σὰρξ σφίγγεται νεύροισιν, ἐκ δὲ πλήθους ἐκχέουσα γαστρὸς φύσιος, ἐκ τόκου προνοίης. ἐκ δὲ σώ-

4 cf. Democriti frgm. 31 (Diels Vorsokr. I² 397)

Codicum quos contuli, uno b *haec epistula servata est, quam recepit in imitationum numerum doctrinae et sermonis Democritei H. Diels, Die Fragmente der Vorsokratiker, Bd. I² 448 (Bd. II² 1, 731). cf. quae disputavit de hac epistula B. ten Brink, Philolog. VIII (1853) 415 sqq.* H = *Paris. 2142, vulg. = Editio Foesii, cf. praef. pag. III*

1 ΚΓ̅ b φύσιος H 3 ξύμφέρον (ο *supra*) b 5 νόος *Littré:* νοῦσος Hb 7 ἐς *vulg.* φύσιος H 8 *scripsi* ἡ περιγραφή· ἡπεργραφὴ b 9 ὧν H: ὃν b ἀναγκαῖαι b 10 κοσμεῦσαι *Diels:* κοσμῶσαι b 11 ἐνστασιαις b: *corr Diels* ὑπὸ μέτωπον b: ὑπὸ μετώπωι *Ermerins* ὑπομετώπωι *Diels* κολασίηι b: *corr. Diels* 12 ἐνίδρυται *Ermerins:* συνίδρυται b *ante* κόρη *add.* δὲ Hb, *delevit ten Brink* ὑπομένει *Littré:* ὑπομένειν Hb: *dedi* ὑπομένων 14 ἀκροτελὲς (ν *supra*) b 15 ἐνδοχεῖα Hb: ἐκδ. *ten Brink* 16 θυμὸς (μ υ *supra*) b 17 τριγχοῖσι b τριχοῖσι H: *corr. Littré* 19 κωνοειδὲς b: κωνοειδὴς *Littré* ἐνδέδυκε (τ *supra*) b 20 πνευμάτων b: *corr. Littré* αἴτιον b 21 μετάβαλλον *(sic)* b κοίλη (λί *supra*) ∸ ∸ περίπλοος ἔσται ∸ ἧπαρ b: κοίληι περιπλόοις *em. Littré* ἐστὶ *Foes* 22 χολὴ δὲ χλωρὴ H ἀνθρωπ. — (23) σώματος *om.* H 24 κοιλίη κατευνάζεται bH: *Diels* κἄτ' εὐνάζεται 25 ὃ ἔνυχα δὲ b δ' ἔνυχα δὲ H: *corr. Littré* συνθέσιος H λήψιος H 26 ἀπο ∸ κρίσεως b δῆμοι H δημοι *(sine acc.)* b ἐκκρίσιος H 31 ·γα·στρὸς (ύ *supra*) b

ματος κρεμαστοὶ ἐκτὸς οἰκίην νέμονται ἐκγονοκτίσται ὄρχεις πουλυχίτωνες ἐόντες. εὐναίη δ' ἥβη,
ἀπὸ φλεβέων τε καὶ νεύρων | πλέγμα οὔρων ἔκχυσιν ποιεύμενον, συνουσίης ὑπουργόν, φύσιος ὕπο 398
δεδημιούργηται, θριξὶν ἥβης πυκαζόμενον. σκέλη δὲ καὶ βραχίονες καὶ τὰ προσηρτημένα τουτέοις 12
ἄκρα, διηκονίης πᾶσαν ἀρχὴν συνηθροισμένα ἔχοντα, νεύρων [τε] ἀσφαλῆ λειτουργίην τελέουσιν. ἡ
δὲ ἀσώματος ἐν μυχοῖς φύσις ἐξέτευξε παντάμορφα σπλάγχνων γένη, ἃ δὴ θάνατος ἐπισταθεὶς
ὠκέως ἔπαυσε λειτουργίης.

24. Ἱπποκράτους ὑγιεινὸν πρὸς Δημήτριον βασιλῆα.
Ἱπποκράτης Κῶιος βασιλεῖ Δημητρίωι χαίρειν.

Ἡμεῖς καὶ πρότερον μὲν σπουδάζοντες, ὦ βασιλεῦ, περὶ τῆς ἀνθρωπίνης φύσιος ἐν κεφαλαίωι 1
θεωρῆσαι τὰ μέρη, ταῦτα ξυγγράψαντες, καθάπερ ἠξίωσας, ἀπεστείλαμεν. νῦν δὲ περὶ ὧν δεῖ μά-
λιστα σπουδάζειν τοὺς ἔμφρονας, ἡμεῖς τὰ μὲν καὶ παρὰ τῶν πρότερον παρειληφότες, τὰ δὲ καὶ
νῦν αὐτοὶ προσεξευρίσκοντες γεγράφαμέν σοι. οἷς σὺ τῶν προτέρων ἀρρωστημάτων σημείοις γινο-
μένοις ἐπακολουθῶν καὶ χρώμενος πλειστάκις ἄνουσος ἂν εἴης τὸν ἅπαντα χρόνον. ἔστι δὲ δύο 2
γένη ἀρρωστιῶν ἁπάντων ζώιων· ἡ μὲν κατὰ γένος, ἡ δὲ κατὰ πάθος ἀνόμοιαι. τὰς δ' ἐπιθυμίας
τὰς κατὰ τὴν τροφὴν ἐκ τῶν ὑπεναντίων ὄψει † ξηραινομένων τῶν κενουμένων τὰ δὲ πλήρη,
πληρούντων δὲ κενά. τὰς δὲ νούσους ἁπάσας ἐξ ὑπεναντίων ὄψει καθεστηκυίας καὶ νούσους ὑπὸ
νούσων λυομένας. ὑπὸ σπασμῶν ⟨ἐχομένωι⟩ πυρετὸς ἐπιγενόμενος ἵστησι τὸ νόσημα, κεφαλῆς [πολλῆς] δὲ 3
περιωδυνίας πῦον ⟨ἢ ὕδωρ ἢ αἷμα⟩ κατὰ τὰ ὦτα ῥαγέντα ἢ κατὰ τὰς ῥῖνας· [σπασμοὶ] πᾶσι δὲ μελαγχολικοῖς
⟨αἱμορροῒδες⟩ ἐπιγιγνόμεναι παύουσι τὰς μελαγχολίας. καὶ | καθόλου μέν ἐστιν καὶ ῥίζα τῶν ἀνθρωπίνων 4 400
νοσημάτων ἡ κεφαλή, καὶ τὰ ἀρρωστήματα τὰ μέγιστα ἐκ ταύτης παραγίνεται. ἐπικειμένη γὰρ αὐτὴν
τῶι σώματι ὥσπερ σικύαν τῶν εἰσφερομένων ἁπάντων συμβαίνει αὐτὴν ἕλκειν περιττώματα καὶ
τοὺς λεπτομερεῖς χυμούς. δεῖ δὲ προσέχειν τὸν νοῦν ἰδίως ζῆν αὐτὸν παρασκευάσαντα εἰς ταῦτα 5
τὰ μέρη, ὅπως μηδεμίαν αὔξησιν λαμβάνηι τὰ προσπίπτοντα τῶν ἀρρωστημάτων, διά τε τῆς
ἐπιμελείης καὶ τῆς εὐταξίης τῆς παρὰ σοὶ γινομένης, καὶ μήτε ταῖς τῶν ἀφροδισίων ἀκρασίαις μήτε
ταῖς τῶν διαφόρων ἐδεσμάτων μήτε τοῖς ὕπνοις τοῖς ὑπερχαλαστικοῖς καὶ ἀγυμνάστου ὄντος
τοῦ σώματος χρώμενον, ἀλλ' ἐπακολουθοῦντα τοῖς σημείοις τοῖς γιγνομένοις ἐν τῶι σώματι διατη-
ρεῖν τὸν καιρὸν ἑκάστου [σώματος], ὅκως ἂν φυλαξάμενος τὸ ἀρρώστημα τὸ μέλλον ἐπιφέρεσθαι ταῖς
θεραπηΐαις αἷς ἂν ἐγὼ γράφω χρώμενος διατελῆις ἄνουσος ἐών.

17 cf. Aph. IV 57 (IV 522 L.) cf. Aph. VI 10 (IV 566 L.) 18 cf. Aph. VI 11 (IV 566 L.)

1 ἔκγονοι κτίσται: *Diels dubitanter* ἐκγονοκτίσται ευνοι ἥβη b εὐνοίης H: εὐναίη δ' *Diels* 3 ὀρεξιν Hb: θριξὶν *ten Brink* τουτέοισιν H 4 τε *delevit Littré* 7 *Hanc quoque epistulam solus ex meis praebet codex* b (*deficit* H). ΚΕ b 11 ἔμφρονας [cω] b 14 ζώων [ι] b 17 λυομένας *Ilberg* γιγνομένας b ἐχομένωι *add. Marcks* ἐπι·γεν·όμενος [λυ] b πολλῆς *del. Littré* 18 πῦον ⟨ἢ ὕδωρ ἢ αἷμα⟩ *Ilberg coll. Hipp.:* ὅταν b σπασμοὶ *secl. Ilberg* 19 αἱμορροῒδες *add. Ilberg* ἐπιγιγνόμεναι *Ilberg* ἐπι·γιγν·όμενοι [λυ] b 21 σώματι *Littré:* στόματι b σικύτῶν [αν] b 23 λαμβάνονται b: *corr. Littré* 25 ὑπερκολαστικοῖς [α, υ] b: *corr. Littré* 26 χρώμενον *Littré:* χρώμενος b 27 σώματος *del. Littré* 28 διατελῆις *Littré:* διατελεῖς b *in calce folii:* ζητητέον τὸ λεῖπον τῆς ἐπιστολῆς καὶ τὴν πρὸς Πτολεμαῖον ὁλόκληρον b

TY[illegible] TEUBNERI LIPSIENSIS.